Inc
1305

E 1, 28

1116

Pag. 304.

Cebetis Thebani Tabula
Basilii magni sermo
Plutarchi opusculum
Xenophontis Hieron seu de Tyrannide

Thirenus suo [illegible]

Brunet, s. v. Cebetis

"l'édition précieuse autant que rare..."

Roma? (Brunet)?
Venezia? (Hain)?

Segundo Brunet, perteneció a 1500

60

Cebetis Thebani Tabula
Basilii Magni sermo
Plutarchi opusculum
Xenophontis Hieron
de Tyrannide –

(Roma, 1500?)

Caa. 72



# ΚΕΒΗΤΟΣ ΠΙΝΑΞ.

τυγχάνομεν περιπατοῦντες ἐμ τῷ τοῦ κρόνου ἱερῷ. ἐμ ᾧ πολλὰ μὲμ καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν. ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ ναοῦ. ἐμ ᾧ ἦμ γραφή τις ξένη. καὶ μύθους ἔχουσα ἰδίους. οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν τίνες καὶ πόθεν ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον. οὔτε στρατόπεδον. ἀλλὰ περίβολος ἦν ἐν αὐτῷ, ἔχων ἑτέρους περιβόλους δύο. τὸν μὲμ, μείζω. τὸν δὲ, ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου. πρὸς δὲ τῇ πύλῃ, ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι· ἔνδον δὲ τοῦ περιβόλου, πλῆθός τι γυναικῶν ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου, γέρωμ τίς ἑστὼς ἔμφασιμ ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. ἀπορούντων δὲ ἡμῶμ περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, πρεσβύτης τίς παρεστὼς, οὐδὲν δεινὸν πάσχετε ὦ ξένοι ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης·



liber cartusiae scalae caeli donodatus a D. Jacobo Menoetio Vasconcello canonico ecclesiae Eboren.

BIBLIOTHECA NACIONAL DE LISBOA

Inc. 1305

οὐ γὰρ τῶν ἐπιχωρίων πολλοὶ ἴσασι τί ποτε αὕτη ἡ μυθολογία δύναται. οὐ δὲ γάρ ἐστι πολιτικὸν ἀνάθημα· ἀλλὰ ξένος τίς πάλαι ποτὲ ἀφίκετο δεῦρο ἀνὴρ ἔμφρων καὶ δεινὸς περὶ σοφίαν. λόγῳ δὲ καὶ ἔργῳ πυθαγόρειόν τινα καὶ παρμενίδειον ἐζηλωκὼς βίον. ὅς τό, τε ἱερὸν τοῦτο καὶ τὴν γραφὴν ἀνέθηκε τῷ κρόνῳ. πότερον οὖν ἔφην ἐγὼ καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς; καὶ ἐθαύμασά γε ἔφη αὐτὸν πολὺν χρόνον. νεώτερος γὰρ ὤν. πολλὰ καὶ σπουδαῖα διελέγετο. καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας, πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος.

Πρὸς Διὸς τοίνυν ἔφην ἐγὼ εἰ μή τις σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν. πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι τί ποτε ἐστὶν ὁ μῦθος. Οὐδεὶς φθόνος ὦ ξένοι ἔφη. ἀλλὰ τουτί δεῖ ὑμᾶς ἀκοῦσαι. ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. διὰ τί ἔφην ἐγώ. ὅτι εἰ μὲν προσέξετε ἔφη καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε. εἰ δὲ μή, ἄφρονες καὶ κακοδαίμονες καὶ πικροὶ καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. ἔστι γὰρ ἡ ἐξήγησις.

ἔοικεν τῷ τῆς σφιγγὸς αἰνίγματι· ὃ ἐκείνη
προὐβάλλετο τοῖς ἀνθρώποις· εἰ μὲν οὖμ αὐτὸ
συνίη τις, ἐσώζετο· εἰ δὲ μὴ συνίη, ἀπόλλυτο
ὑπὸ τῆς σφιγγός· ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐ-
ξηγήσεως ταύτης· ἡ γὰρ ἀφροσύνη τοῖς ἀμθρώ-
ποις σφίγξ ἐστίν. αἰνίττεται δὲ καὶ τάδε. τί ἀ-
γαθόν. τί κακόν. τί οὔτε ἀγαθὸν οὔτε κακόν ἐ-
στιν ἐν τῷ βίῳ. ταῦτ' οὖν ἐὰμ μή τις συνίη, ἀ-
πόλλυται ὑπ' αὐτῆς οὐκ εἰσάπαξ ὥσπερ ὁ ὑπὸ
τῆς σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν, ἀλλὰ
κατὰ μικρὸμ ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται·
καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι·
ἂμ δέ τις γνῷ ἀμάπαλιν ἡ μὲν ἀφροσύνη ἀ-
πόλλυται, αὐτὸς δὲ σώζεται· καὶ μακάριος καὶ
εὐδαίμων γίμεται ἐμ παντὶ τῷ βίῳ· ὑμεῖς
οὖν προσέχετε καὶ μὴ παρακούετε· ὦ ἡρά-
κλεις ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμ-
βέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει· ἀλλ' ἔστιν
ἔφη οὕτως ἔχοντα· οὐκ ἂμ φθάνοις τοίνυν δι-
ηγούμενος, ὡς ἡμῶν προσεξόμτων οὐ παρέρ-
γως· ἐπείπερ καὶ τὸ ἐπιτίμιομ τοιοῦτόμ ἐ-
στιν· ἀμαλαβὼμ οὖν ῥάβδον τινὰ καὶ ἐκτείνας

πρὸς τὴν γραφήν, ὁρᾶτε ἔφη τὸν περίβολον τοῦ-
τον; ὁρῶμεν. τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς.
ὅτι καλεῖται ὁ τόπος οὗτος βίος. καὶ ὁ ὄχλος ὁ
πολὺς ὁ παρὰ τὴν πύλην ἐφεστώς, οἱ μέλλον-
τες εἰσπορεύεσθαι εἰς τὸν βίον οὗτοί εἰσιν. ὁ δὲ
γέρων ὁ ἄνω ἑστηκώς, ἔχων χάρτην τινὰ ἐν τῇ
χειρὶ καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος δαί-
μων καλεῖται. προστάττει δὲ τοῖς εἰσπορευομέ-
νοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς
τὸν βίον. καὶ δείκνυσι ποίαν ὁδὸν αὐτοὺς δεῖ βα-
δίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. ποί-
αν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς ἔφην ἐγώ.
ὁρᾷς οὖν ἔφη παρὰ τὴν πύλην θρόνον τινὰ κεί-
μενον κατὰ τὸν τόπον τοῦτον, καθ᾽ ὃν εἰσπορεύε-
ται ὁ ὄχλος. ἐφ᾽ οὗ κάθηται γυνὴ πεπλασμέ-
νη τῷ ἤθει. καὶ πιθανὴ φαινομένη καὶ ἐν τῇ χει-
ρὶ ἔχουσα ποτήριόν τι; ὁρῶ. ἀλλὰ τίς ἐστιν αὕ-
τη ἔφην. ἀπάτη καλεῖται φησίν. ἡ πάντας
τοὺς ἀνθρώπους πλανῶσα. εἶτα τί πράτ-
τει αὕτη τοὺς εἰσπορευομένους εἰς τὸν βίον, πο-
τίζει τῇ ἑαυτῆς δυνάμει. τοῦτο δέ, τί ἐστι τὸ
ποτόν. πλάνη ἔφη καὶ ἄγνοια. εἶτα τί. πιόντες

τοῦτο πορευόμεθα εἰς τὸν βίον. πότερομ οὖμ πάμ
τες πίνουσι τὸμ πλάνον ἢ οὔ. πάντες πίνου
σιν ἔφη. ἀλλ' οἱ μὲν, πλεῖον. οἱ δὲ, ἧττον. ἔτι δὲ
οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναι
κῶν ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν;
ὁρῶ. αὗται τοίνυν δόξαι καὶ ἐπιθυμίαι καὶ ἡδο
ναὶ καλοῦνται. ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος.
ἀναπηδῶσιν αὗται, καὶ συμπλέκονται πρὸς ἕ
καστον. εἶτα ἀπάγουσι. ποῖ δὲ ἀπάγουσιμ
αὐτούς. αἱ μὲν, εἰς τὸ σώζεσθαι ἔφη. αἱ δὲ, εἰς τὸ
ἀπόλυσθαι διὰ τὴν ἀπάτην. ὦ δαιμόνιε ὡς
χαλεπὸν τὸ πόμα λέγεις. καὶ πᾶσαί γε ἔφη
ἐπαγγέλλονται. ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ
εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. οἱ δὲ, διὰ τὴν
ἄγνοιαν καὶ τὸν πλάνον ὃν πεπώκασι παρὰ
τῆς ἀπάτης. οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀ
ληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ. ἀλλὰ πλανῶνται εἰ
κῆ, ὥσπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευο-
μένους ὡς περιάγονται ὅπῃ ἄν, αὗται δεικνύ
ωσιν; ὁρῶ τοῦτο ἔφην. ἡ δὲ γυνὴ ἐκείνη τίς ἐ
στὶν. ἡ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δο
κοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου. κα

λέγεται μὲν ἔφη τύχη. ἔστι δὲ οὐ μόνον τυφλὴ
ἀλλὰ καὶ μαινομένη καὶ κωφή. αὕτη οὖν τί ἔρ-
γον ἔχει. περιπορεύεται πανταχοῦ ἔφη. καὶ
παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα καὶ ἑτέροις
δίδωσι. παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται πα-
ραχρῆμα ἃ δέδωκε καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ
ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον, καλῶς μηνύει
τὴν φύσιν αὐτῆς. ποῖον τοῦτο ἔφην ἐγώ. ὅτι ἐ-
πὶ στρογγύλου λίθου ἕστηκεν. εἶτα τί τοῦτο ση-
μαίνει. ὅτι οὐκ ἀσφαλὴς οὐδὲ βεβαία ἐστὶν ἡ
παρ' αὐτῆς δόσις. ἐκπτώσεις γὰρ μεγάλαι καὶ
σκληραὶ γίνονται ὅταν τις αὐτῇ πιστεύσῃ. ὁ
δὲ ὄχλος ὁ πολὺς οὗτος ὁ περὶ αὐτὴν ἑστηκὼς;
τί βούλεται. καὶ τίνες καλοῦνται. καλοῦνται
μὲν οὗτοι ἀπροβούλευτοι. αἰτοῦσι δὲ ἕκαστος
αὐτῶν, ἃ ῥίπτει. πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι
τὴν μορφήν. ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν.
οἱ δὲ ἀθυμοῦσιν ἐκτετακότες τὰς χεῖρας. οἱ
μὲν δοκοῦντες ἔφη χαίρειν καὶ γελᾶν αὐτῶν, οἱ
εἰληφότες τι παρὰ τῆς τύχης εἰσίν. οὗτοι δὲ
καὶ ἀγαθὴν τύχην αὐτὴν καλοῦσιν. οἱ δὲ δο-
κοῦντες κλαίειν καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ

παρ' ὧν ἀφείλετο ἃ δέδωκε πρότερον αὐ
τοῖς. οὗτοι δὲ πάλιν κακὴν τύχην αὐτὴν καλοῦ
σι. τίνα οὖν ἐστὶν ἃ δίδωσιν αὐτοῖς. ὅτι οὔ
τως οἱ μὲν λαμβάνοντες χαίρουσιν. οἱ δὲ ἀπο
βαλόντες, κλαίουσιν. ταῦτα ἔφη ἃ παρὰ τοῖς
πολλοῖς ἀνθρώποις, δοκεῖ εἶναι ἀγαθά. ταῦ
τα οὖν τίνα ἐστί. πλοῦτος δηλαδὴ καὶ δόξα. καὶ
εὐγένεια. καὶ τέκνα. καὶ τυραννίδες. καὶ βασιλεῖαι.
καὶ τἆλλα ὅσα τούτοις παραπλήσια. ταῦτα
οὖν, πῶς οὐκ ἔστιν ἀγαθά. περὶ μὲν τούτων
ἔφη. καὶ αὖθις διαλεξόμεθα. νῦν δὲ περὶ τὴν
μυθολογίαν γενώμεθα. ἔστω οὕτως. ὁρᾷς
οὖν ὡς ἂν παρέλθοις τὴν πύλην ταύτην ἀνώτερον
ἄλλον περίβολον καὶ γυναῖκας ἔξω τοῦ περιβό
λου ἑστηκυίας κεκοσμημένας ὥσπερ αἱ ἑταῖ
ραι εἰώθασι. καὶ μάλα. αὗται τοίνυν ἡ μὲν ἀ
κρασία καλεῖται. ἡ δὲ, ἀσωτεία. ἡ δὲ, ἀπλη
στία. ἡ δὲ, κολακεία. τί οὖν ὧδε ἑστήκασιν αὗ
ται. παρατηροῦσιν ἔφη τοὺς εἰληφότας τί πα
ρὰ τῆς τύχης. εἶτα τί. ἀναπηδῶσι καὶ συμ
πλέκονται αὐτοῖς. καὶ κολακεύουσι καὶ ἀξιοῦσι
παρ' αὐτὰς μένειν. λέγουσαι, ὅτι βίον ἕξουσιν

ἡδὺν καὶ ἄπονον· καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. ἐὰν οὖν τις πεισθῇ ὑπ' αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν, μέχρι μὲν τινὸς ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβή, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ' οὐκέτι· ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν· ἀλλ' ὑπ' αὐτῆς κατεσθίετο καὶ ὑβρίζετο· διὸ καὶ ὅταν ἀναλώσῃ πάντα ὅσα ἔλαβε παρὰ τῆς τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν καὶ πάνθ' ὑπομένειν· καὶ ἀσχημονεῖν καὶ ποιεῖν ἕνεκεν τούτων ὅσα ἐστὶ βλαβερά· οἷον, ἀποστερεῖν· ἱεροσυλεῖν· ἐπιορκεῖν· προδιδόναι· λῄζεσθαι· καὶ πάνθ' ὅσα τούτοις παραπλήσια· ὅταν οὖν πάντα αὐτὸν ἀπολίπῃ, παραδίδονται τῇ τιμωρίᾳ· ποία δέ ἐστιν αὕτη· ὁρᾷς ὀπίσω τι αὐτῶν ἔφη ὥσπερ θυρίον μικρὸν καὶ τόπον στενόν τινα καὶ σκοτεινόν; οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ καὶ ῥυπαραὶ καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι. καὶ μάλα. αὗται τοίνυν ἔφη ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, ὀδύνη· ὁ δ' ἄλλος οὗτος ὁ παρε-

ςήκως αὐταῖς δυστυχής τις καὶ λυπηρὸς καὶ γυμνός
καὶ μετὰ ταῦτα τὶς ὅμοια αὐτῷ αἰσχρὰ καὶ λυ-
πηρή. τίς ἐστιν. ὁ μὲν, ὀδυρμὸς καλεῖται ἔ-
φη. ἡ δὲ, ἀδελφὴ αὐτοῦ ἀθυμία. τούτοις
οὖν παραδίδοται καὶ μετὰ τούτων συμβιοῖ τι-
μωρούμενος. εἶτα πάλιμ ἐνταῦθα εἰς ἕτε-
ρομ οἶκον ῥίπτεται εἰς τὴμ κακοδαιμονίαμ. καὶ
ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κα-
κοδαιμονίᾳ ἂμ μὴ ἡ μετάνοια αὐτῷ ἀπὸ τῆς
τύχης συναντήσῃ. εἶτα τί γίνεται ἐὰν ἡ με-
τάνοια αὐτῷ συναντήσῃ. ἐξαιρεῖ αὐτὸν ἐκ τῶμ
κακῶν καὶ συνίστησιν αὐτῷ ἑτέραμ δόξαν. καὶ ἐ-
πιθυμίαν. τὴν εἰς τὴν ἀληθινὴν παιδείαν ἄγου-
σαν. ἅμα δὲ καὶ τὴμ εἰς τὴν ψευδοπαιδείαμ
καλουμένημ. εἶτα τί γίνεται. ἐὰν μὲμ φησὶ
τὴν δόξαμ ταύτην προσδέξηται τὴν ἄξουσαν
αὐτὸν εἰς τὴν ἀληθινὴμ παιδείαν καθαρθεὶς
ὑπ' αὐτῆς, σώζεται. καὶ μακάριος καὶ εὐδαίμωμ
γίνεται ἐν παντὶ τῷ βίῳ. εἰ δὲ μὴ πάλιμ πλα-
νᾶται ὑπὸ τῆς ψευδοδοξίας. ὦ ἡράκλεις ὡς
μέγας ὁ κίνδυνος ἄλλος οὗτος. ἡ δὲ ψευδοπαι-
δεία, ποία ἐστὶν ἔφην ἐγώ. οὐχ ὁρᾷς τὸν ἕτερομ

περίβολον ἐκεῖνον; καὶ μάλα ἔφην ἐγώ· οὐκοῦν
ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον, γυνή
τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθαρὰ καὶ εὔτα-
κτος εἶναι· καὶ μάλα. ταύτην τοίνυν οἱ πολλοὶ
καὶ εἰκαῖοι τῶν ἀνθρώπων, παιδείαν καλοῦσιν·
οὐκ ἔστι δέ, ἀλλὰ ψευδοπαιδεία ἔφη· οἱ μέντοι
σωζόμενοι ὁπόταν βούλωνται εἰς τὴν ἀληθι-
νὴν παιδείαν ἐλθεῖν ὧδε πρῶτον παραγίνον-
ται· πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν ἐπὶ τὴν ἀ-
ληθινὴν παιδείαν ἄγουσα; ἔστιν ἔφη· οὗτοι
δὲ οἱ ἄνθρωποι οἱ ἔσω τοῦ περιβόλου ἀνακάμ-
πτοντες, τίνες εἰσίν· οἱ τῆς ψευδοπαιδείας ἔ-
φη ἐρασταὶ ἠπατημένοι καὶ οἰόμενοι μετὰ τῆς
ἀληθινῆς παιδείας συνομιλεῖν. τίνες οὖν
καλοῦνται οὗτοι· οἱ μὲν ποιηταὶ ἔφη. οἱ δέ, ῥή-
τορες. οἱ δέ, διαλεκτικοί. οἱ δέ, μουσικοί. οἱ
δέ, ἀριθμητικοί. οἱ δέ, γεωμέτραι. οἱ δέ, ἀστρο-
λόγοι. οἱ δὲ ἡδονικοί. οἱ δέ, περιπατητικοί. οἱ δὲ
κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσι-
οι. αἱ δὲ γυναῖκες ἐκεῖναι αἱ δοκοῦσαι περιτρέ-
χειν ὅμοιαι ταῖς πρώταις. ἐν αἷς ἔφης εἶναι τὴν ἀ-
κρασίαν. καὶ αἱ ἄλλαι αἱ μετὰ ταύτης τίνες εἰσίν. αὗ

ταῦτ' ἐκεῖναί εἰσιν ἔφη. πότερον οὖν καὶ ὧδε εἰσπορεύονται· νὴ δία καὶ ὧδε. σπανίως δὲ καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ. Πότερον οὖν καὶ αἱ δόξαι; καὶ ἔφη. ἔτι μὲν γὰρ καὶ ἐν τούτοις τὸ πόμα ὃ ἔπιον παρὰ τῆς ἀπάτης καὶ ἡ ἄγνοια μένει νὴ δία καὶ μετ' αὐτῆς γε ἡ ἀφροσύνη καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν. οὔθ' ἡ δόξα. οὔθ' ἡ λοιπὴ κακία. μέχρις ἂν ἀπογνόντες τῆς ψευδοπαιδείας, εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδόν. καὶ πίωσι τὴν τούτου καθαρτικὴν δύναμιν. καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσα ἔχουσι. καὶ τὰς δόξας καὶ τὴν ἄγνοιαν. καὶ τὴν λοιπὴν πᾶσαν κακίαν. τότε ἄν, οὕτω σωθήσονται, ὧδε δὲ μένοντες παρὰ τῇ ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται. οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν. ἕνεκα τούτων τῶν μαθημάτων. ποία οὖν αὕτη ἡ ὁδός ἐστιν, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν παιδείαν. ὁρᾷς ἔφη ἄνω τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι; ὁρῶ. οὐκοῦν καὶ θύραν τινὰ μικρὰν. καὶ ὁδόν τινα πρὸ τῆς θύρας ἥτις οὐ πολὺ ὀχλεῖται. ἀλλὰ πάνυ ὀλίγοι πο

ῥεύομται. ὥσπερ δυσαμόδου, τινὸς καὶ τραχείας
καὶ πετρώδους εἶναι δοκούσης. καὶ μάλα ἔφην.
Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι. καὶ
ἀνάβασις στενὴ πάνυ. καὶ κρημνοὺς ἔχουσα.
ἔνθεμ κἀκεῖθεν βαθεῖς, ὁρῶ. αὕτη τοίνυν ἐστὶμ
ἡ ὁδὸς ἔφη ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴμ παι
δείαμ, καὶ μάλα γε χαλεπὴ προσιδεῖν. οὐ
κοῦν καὶ ἄνω γε περὶ τὸν βουνὸν ὁρᾷς πέτραν
μεγάλην καὶ ὑψηλὴμ κύκλῳ ἀπόκρημνον;
ὁρῶ ἔφην. ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας
ἐπὶ τῆς πέτρας λιπαρὰς καὶ εὐεκτούσας τῷ
σώματι. καὶ ὡς ἐκτετάκασι τὰς χεῖρας προ
θύμως; ὁρῶ. ἀλλὰ τίνες καλοῦνται ἔφην αὗ
ται. ἡ μὲμ, ἐγκράτεια καλεῖται ἔφη. ἡ δὲ
καρτερία. εἰσὶ δὲ ἀδελφαί. τί οὖν τὰς χεῖ
ρας ἐκτετάκασιν οὕτω προθύμως. παρα
καλοῦσιν ἔφη τοὺς παραγιγνομένους ἐπὶ
τὸν τόπον θαρρεῖμ καὶ μὴ ἀποδειλιᾶν. λέγου-
σαι ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτούς. εἶτα
ἥξουσιν εἰς ὁδὸμ καλήν. ὅταν οὖμ παραγένωμ
ται ἐπὶ τὴν πέτραμ, πῶς ἀναβαίνουσιμ. ὁρῶ γὰρ
ὁδὸν φέρουσαν οὐδὲ μίαμ ἐπ' αὐτήν. αὗται ἀ-

ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι καὶ ἕλ-
κουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς. εἶτα κελεύου-
σιν αὐτοὺς διαναπαύσασθαι. καὶ μετὰ μι-
κρὸν, διδόασιν ἰσχὺν καὶ θάρσος καὶ ἐπαγγέλ-
λονται αὐτοὺς καταστῆσαι πρὸς τὴν ἀληθινὴν
παιδείαν· καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν ὡς ἔ-
στι καλή τε καὶ ὁμαλὴ καὶ εὐπόρευτος· καὶ καθα-
ρὰ παντὸς κακοῦ. ὥσπερ ὁρᾷς. ἐμφαίνει μὴ
δία. ὁρᾷς οὖν ἔφη καὶ ἔμπροσθε τοῦ ἄλσους
ἐκείνου τόπον τινὰ. ὃς δοκεῖ καλός τε εἶναι καὶ
λειμωνοειδής. καὶ φωτὶ πολλῷ καταλαμπό-
μενος, καὶ μάλα. κατανοεῖς οὖν καὶ ἐν μέσῳ
τῷ λειμῶνος περίβολον ἕτερον καὶ πύλην ἑτέ-
ραν, ἔστιν οὕτως. ἀλλὰ τίς καλεῖται ὁ τόπος
οὗτος. εὐδαιμόνων οἰκητήριον ἔφη· ὧδε γὰρ δι-
ατρίβουσιν αἱ ἀρεταὶ πᾶσαι καὶ ἡ εὐδαιμονί-
α· εἶεν ἔφην ἐγὼ· ὡς καλὸν τὸν τόπον εἶναι. οὐ-
κοῦν παρὰ τὴν πύλην ὁρᾷς ἔφη ὅτι γυνή τίς ἐ-
στι καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον· μέση
δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ· στολὴν δὲ ἔ-
χουσα ἁπλῆν καὶ καλωπισμόν· ἕστηκε δὲ οὐ-
κ ἐπὶ στρογγύλου λίθου. ἀλλ' ἐπὶ τετραγώνου ἀ-

σφαλῶς κειμένου. καὶ μετὰ ταύτης, ἄλλαι δύ-
ο εἰσὶ. θυγατέρες τινὲς δοκοῦσιν εἶναι, ἐμφαί-
νει οὕτως ἔχειν. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέ-
σῳ. παιδεία ἐστίν. ἡ δὲ, ἀλήθεια. ἡ δὲ, πειθώ.
Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὐτή; ση-
μεῖον. ἔφη ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς
αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις. καὶ τῶν διδο-
μένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.
καὶ τίνα ἐστὶν ἃ δίδωσιν αὕτη. θάρσος καὶ ἀφο-
βία ἔφη ἐκεῖνος. ταῦτα δὲ τίνα ἐστίν. ἐπιστή-
μη ἔφη τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν
τῷ βίῳ. ἡράκλεις ὡς καλὰ ἔφην τὰ δῶρα. ἀλ-
λὰ τίνος ἕνεκεν, ἔξω τοῦ περιβόλου ἕστηκεν οὕ-
τως. ὅπως τοὺς παραγινομένους ἔφη θε-
ραπεύῃ καὶ ποτίζῃ, τὴν καθαρτικὴν δύναμιν
εἶθ᾽ ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγῃ
πρὸς τὰς ἀρετάς. πῶς τοῦτο ἔφην ἐγώ. οὐ γὰρ
συνίημι. ἀλλὰ συνήσεις ἔφη. ὡς ἄν, εἴ τις φι-
λοτίμως κάμνων ἐτύγχανε πρὸς ἰατρὸν
ἂν δή που γινόμενος, πρότερον καθαρτικοῖς
ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα, εἶτα οὕ-
τως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν

κατέςκσωμ· εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν,
εὐλόγως ἂμ δή που ἀπωσθεὶς ἐξώλετο ὑπὸ
τῆς νόσου. Ταῦτα συνίημι, ἔφην ἐγώ. τὸν
αὐτὸν τοίνυν τρόπον ἔφη καὶ πρὸς τὴν παιδεί
αν, ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν καὶ
ποτίζει τῇ ἑαυτῆς δυνάμει ὅπως ἐκκαθά
ρῃ πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ πάντα ὅσα
ἔχων ἦλθε. ποῖα ταῦτα. τὴν ἄγνοιαν καὶ
τὸν πλάνον, ὃν ἐπεπώκει παρὰ τῆς ἀπά
της, καὶ τὴν ἀλαζονείαν, καὶ τὴν ἐπιθυμίαν,
καὶ τὴν ἀκρασίαν, καὶ τὸν θυμόν, καὶ τὴν φι
λαργυρίαν, καὶ τὰ λοιπὰ πάντα ὧν ἀνεπλή
σθη ἐν τῷ πρώτῳ περιβόλῳ. ὅταν οὖν κα
θαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει. ἔνδον ἔφη
πρὸς τὴν ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας ἀρε
τάς. ποίας ταύτας. οὐχ ὁρᾷς ἔφη ἔσω
τῆς πύλης χορὸν γυναικῶν, ὡς εὐειδεῖς δοκοῦ
σιν εἶναι καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁ
πλῆν ἔχουσιν. ἔτι τε ὡς ἄπλαστοί εἰσι καὶ
οὐδαμῶς κεκαλλωπισμέναι ὥσπερ αἱ ἄλ
λαι; ὁρῶ ἔφην. ἀλλὰ τίνες αὗται καλοῦν
ται. ἡ μὲν πρώτη ἐπιστήμη ἔφη καλεῖ-

ται· αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, ἀνδρεία
καὶ δικαιοσύνη· καλοκαγαθία· σωφροσύνη· εὐ
ταξία· ἐλευθερία· ἐγκράτεια· πραότης· ὦ
κάλλισται ἔφην ἐγὼ· ὡς ἐν μεγάλῃ ἐλπίδι
ἐσμέν· ἐὰν συνῆτε ἔφη καὶ ἕξιν περιποιή-
σησθε ὧν ἀκούετε· ἀλλὰ προσέξομεν ὡς
μάλιστα ἔφην ἐγώ· τί γοῦν ἔφη σωθή
σεσθε· ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗ-
ται, ποῦ ἀπάγουσιν· πρὸς τὴν μητέρα ἔ
φη· αὕτη δὲ τίς ἐστιν· εὐδαιμονία ἔφη·
ποία δέ ἐστιν αὕτη· ὁρᾷς τὴν ὁδὸν ἐκείνην
τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀ
κρόπολις τῶν περιβόλων πάντων: ὁρῶ· οὐ
κοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα
εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ· κε-
κοσμημένη ἐλευθέρως καὶ ἀπεριέργως, καὶ ἐ
στεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καλῶς:
ἐμφαίνει οὕτως ἔχειν· αὕτη τοίνυν ἐ-
στὶν ἡ εὐδαιμονία ἔφη· ὅταν οὖν ὧδε
τίς παραγένηται, τί ποιεῖ· στεφανοῖ αὐτόν, ἔ
φη τῇ ἑαυτῆς δυνάμει ἡ εὐδαιμονία καὶ αἱ
ἄλλαι πᾶσαι ἀρεταί· ὥσπερ τοὺς νενικηκό-

τὰς τοὺς μεγίστους ἀγῶνας. καὶ ποίους ἀ-
γῶνας νενίκηκεν αὐτός, ἔφην ἐγώ. τοὺς μεγί-
στους ἔφη καὶ τὰ μέγιστα θηρία. ἃ πρότερον
αὐτὸν κατήσθιεν. καὶ ἐκόλαζε. καὶ ἐποίει δοῦλον.
ταῦτα πάντα νενίκηκε. καὶ ἀπέρριψεν ἀφ' ἑ-
αυτοῦ. καὶ κεκράτηκεν ἑαυτοῦ. ὥστε ἐκεῖνα νῦν
τούτῳ δουλεύουσι. καθάπερ οὗτος ἐκείνοις
πρότερον. ποῖα λέγεις ταῦτα τὰ θηρία.
πάνυ γὰρ ἐπιθυμῶ ἀκοῦσαι. πρῶτον μὲν ἔ-
φη, τὴν ἄγνοιαν καὶ τὸν πλάνον. ἢ οὐ δοκεῖ
σοι θηρία ταῦτα εἶναι; καὶ πονηρά γε ἔφην
ἐγώ. εἶτα τὴν λύπην καὶ τὸν ὀδυρμόν. καὶ
τὴν φιλαργυρίαν. καὶ τὴν ἀκρασίαν. καὶ τὴν λοι-
πὴν ἅπασαν κακίαν. πάντων τούτων κρα-
τεῖ καὶ οὐ κρατεῖται ὥσπερ τὸ πρότερον. ὢ
καλῶν ἔργων ἔφην ἐγὼ καὶ καλλίστης νίκης. ἀλ-
λ' ἐκεῖνο ἔτι μοι εἰπέ. τίς ἡ δύναμις τοῦ στεφά-
νου ᾧ ἔφης στεφανοῦν αὐτόν. εὐδαιμονική
ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνά-
μει εὐδαίμων γίγνεται καὶ μακάριος. καὶ οὐκ ἔ-
χει ἐν ἑτέροις τὰς ἐλπίδας. τῆς εὐδαιμο-
νίας. ἀλλ' ἐν ἑαυτῷ. ὡς καλὸν τὸ νίκημα λέ-

ἔσω· ὅταν δὲ σωφρονισθῇ, τί ποιεῖ; ἢ ποῖ βα-
δίζει· ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ ἀρεταὶ
πρὸς τὸν τόπον ἐκεῖνομ ὅθεν ἦλθε πρότερον
καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβομτας
ὡς κακῶς καὶ ἀθλίως ζῶσι· καὶ ὡς ναυαγοῦσιν ἐν
τῷ βίῳ καὶ πλανῶνται καὶ ἄγονται καταχεκρατη-
μένοι· ὥσπερ ὑπὸ πολεμίων· οἱ μὲν ὑπὸ
ἀκρασίας· οἱ δὲ, ὑπ' ἀλαζονείας, οἱ δὲ, ὑπὸ
φιλαργυρίας· ἕτεροι δὲ ὑπὸ κενοδοξίας· οἱ
δὲ, ὑφ' ἑτέρων κακῶν ἐξ ὧν οὐ δύνανται ἐκλῦ-
σαι ἑαυτοὺς τῶν δεινῶν οἷς δέδενται· ὥστε σω-
θῆναι καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττον-
ται διὰ παντὸς τοῦ βίου· τοῦτο δὲ πάσχουσι
διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑ-
ρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ δαιμονίου πρόσ-
ταγμα. ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦ-
το πάλιν ἀπορῶ· διὰ τί δεικνύουσιν αὐτῷ τὸν τό-
πομ ἐκεῖνομ αἱ ἀρεταὶ ὅθεν ἧκε τὸ πρότερομ·
οὐκ ἀκριβῶς ᾔδει· οὐδὲ ἠπίστατο ἔφη οὐδὲν τῶν
ἐκεῖ· ἀλλ' ἐνεδοίαζε· καὶ διὰ τὴν ἄγνοιαμ καὶ τὴν
πλάνον ὃμ δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγα-
θὰ, ἐνόμιζεμ ἀγαθὰ εἶναι· καὶ τὰ μὴ ὄμτα

κακά. κακά. διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι
οἱ ἐκεῖ διατριβόμενοι. νῦν δὲ ἀπειληφὼς τὴν ἐ-
πιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς
ζῇ. καὶ τούτους θεωρεῖ ὡς κακῶς πράττουσιν. ἐπει-
δὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ ἢ ποῖ βα-
δίζει. ὅπου ἂν βούληται ἔφη. πανταχοῦ γάρ
ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τὸ κωρύκιον ἂν
ἔχοντι. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται πάν-
τα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλεί-
ας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως, πάντες
καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. πό-
τερον οὖν κἀκείνας τὰς γυναῖκας ἃς ἔφης θη-
ρία εἶναι, οὐκέτι φοβεῖται μή τι πάθῃ ὑπ᾽ αὐ-
τῶν. οὐδὲν οὐ μὴ διοχληθήσεται οὔτε ὑπὸ
ὀδύνης, οὔτε ὑπὸ λύπης. οὔτε ὑπ᾽ ἀκρασί-
ας, οὔτε ὑπὸ φιλαργυρίας. οὔτε ὑπὸ πενί-
ας. οὔτε ὑπὸ ἄλλου κακοῦ οὐδενός. ἁπάντων
γὰρ κυριεύει. καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότε-
ρον αὐτὸν λυπούντων, καθάπερ οἱ ἐχιόδηκτοι.
τὰ γὰρ θηρία δήπου πάντας τοὺς ἄλλους κα-
κοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυ-
πεῖ διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτοὺς τοῦ το-

καὶ τοῦτον οὐθὲν λυπεῖ διὰ τὸ ἔχειν ἀντιφαρ-
μακον. καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ' ἔτι τοῦ-
τό μοι εἰπέ. τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖ-
θεν ἀπὸ τοῦ βουνοῦ παραγίνεσθαι. καὶ οἱ μὲν
αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐ-
φροσύνης τινός. οἱ δὲ ἀστεφάνωτοι. οἱ μὲν, ἀ-
πεγνωσμένοι. καὶ τὰς κνήμας καὶ τὰς κεφα-
λὰς δοκοῦσι τετρῖφθαι. κατέχονται δὲ ὑπὸ
γυναικῶν τινων. οἱ μὲν ἐστεφανωμένοι, οἱ σε-
σωσμένοι εἰσὶ πρὸς τὴν παιδείαν. καὶ εὐφραί-
νονται τετευχηκότες αὐτῆς. οἱ δὲ ἀστεφάνωτοι, οἱ
μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς παιδείας ἀ-
νακάμπτουσι. κακῶς καὶ ἀθλίως διακείμε-
νοι. οἱ δὲ, ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες
πρὸς τὴν καρτερίαν, πάλιν ἀνακάμπτουσι
καὶ πλανῶνται ἀνοδίᾳ. αἱ δὲ γυναῖκες αἱ
μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται.
λῦπαι ἔφη καὶ ὀδύναι. καὶ ἀθυμίαι. καὶ ἀδοξί-
αι. καὶ ἄγνοιαι. πάντα κακὰ λέγεις αὐτοῖς ἀ-
κολουθεῖν. νὴ Δία πάντα ἔφη ἐπακολουθοῦ-
σιν. ὅταν δὲ οὗτοι παραγένωνται εἰς τὸν πρῶ-
τον περίβολον πρὸς τὴν ἡδυπάθειαν, καὶ τὴν ἀ-

κρασίαν, οὐχὶ αὐτοὺς αἰτιῶνται· ἀλλ' εὐθὺς
κακῶς λέγουσι καὶ τὴν παιδείαν καὶ τοὺς ἐκεῖ
σε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι
καὶ κακοδαίμονες, οἱ τὸν βίον τὸν παρ' αὐτοῖς
ἀπολιπόντες, κακῶς ζῶσι καὶ οὐκ ἀπολαύουσι
τῶν παρ' αὐτοῖς ἀγαθῶμ. ποῖα δὲ λέγουσιμ ἀ
γαθὰ εἶναι. τὴν ἀσωτίαν καὶ τὴμ ἀκρασίαμ·
ὡς εἰπεῖν ἄμ τις ἐπὶ κεφαλαίου· τὸ γὰρ εὐω
χεῖσθαι βοσκημάτων τρόπον, ἀπόλαυσιν με
γίστωμ ἀγαθῶμ ἡγοῦνται εἶναι. αἱ δὲ ἕτε
ραι γυναῖκες αἱ ἐκεῖθεν παραγινόμεναι ἱλα
ραί τε καὶ γελῶσαι, τίνες καλοῦνται. δόξαι
ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν παιδείαν τοὺς
εἰσελθόντας πρὸς τὰς ἀρετὰς, ἀνακάμπτου
σιν ὅπως ἑτέρους ἀγάγωσι καὶ ἀναγγείλω
σιμ ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε
ἀπήγαγον. πότερον οὖμ ἔφην ἐγὼ αὗται
εἴσω πρὸς τὰς ἀρετὰς εἰσπορεύονται. ἔφη
οὔ. οὐ γὰρ θέμις δόξαν εἰσπορεύεσθαι πρὸς τὴν
ἐπιστήμην· ἀλλὰ τῇ παιδείᾳ παραδιδόα
σιν αὐτούς. εἶτα ὅταμ ἡ παιδεία παραλά
βῃ, ἀνακάμπτουσιμ αὗται πάλιν ἄλλους ἀ

ξῶσαι· ὥσπερ αἱ νῆες τὰ φορτία ἐξελόμε
ναι πάλιν ἀνακάμπτουσι· καὶ ἄλλων τινῶν
γεμίζονται· ταῦτα μὲν δὴ καλῶς, καὶ δο
κεῖς ἔφην ἐξηγεῖσθαι. ἀλλ᾽ ἐκεῖνο οὐδέπω ἡ
μῖν δεδήλωκας, τί προστάττει τὸ δαιμόνιον
τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν· θαρρεῖν
ἔφη. διὸ καὶ ὑμεῖς θαρρεῖτε· πάντα γὰρ ἐξηγή
σομαι καὶ οὐδὲν παραλείψω· καλῶς λέ
γεις ἔφην ἐγώ. ἐκτείνας οὖν τὴν χεῖρα πάλιν
ὁρᾶτε ἔφη τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή
τις εἶναι· καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι· ἣν καὶ ἄρ
τι ὑμῖν εἶπον ὅτι τύχη καλεῖται; ὁρῶμεν·
Ταύτῃ κελεύει ἔφη μὴ πιστεύειν· καὶ βέβαιον μη
δὲν πιστεύειν· μηδὲ ἀσφαλὲς ἔχειν ὅ, τι ἂν
παρ᾽ αὐτῆς λάβῃ· μηδὲ ὡς ἴδια ἡγεῖσθαι·
οὐδὲν γὰρ κωλύει ταῦτα πάλιν ἀφελέσθαι
καὶ ἑτέρῳ διδόναι· πολλάκις γὰρ τοῦτο εἴωθε
ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν, κελεύ
ει πρὸς τὰς ἑαυτῆς δόσεις, ἴσους γίγνε
σθαι· καὶ μήτε χαίρειν ὅταν διδῷ· μήτε ἀθυ
μεῖν ὅταν ἀφέληται· καὶ μήτε ψέγειν αὐτὴν
μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ λογισ-

μου. ἀλλ' εἰκῇ καὶ ὡς ἔτυχε πάντα. ὥσπερ πρό
τερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ δαιμόνιον
κελεύει, μὴ θαυμάζειν ὅτι ἂν, πράττῃ αὐτή.
μὴ δὲ γίνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζί-
ταις. καὶ γὰρ ἐκεῖνοι ὅταν μὲν λάβωσι τὸ ἀργύ
ριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι καὶ ἴδι
ον νομίζουσιν εἶναι. ὅταν δὲ ἀπαιτῶνται ἀ-
γανακτοῦσι. καὶ δεινὰ οἴονται πεπονθέναι. οὐ
μνημονεύοντες ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέ
ματα. ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κο
μίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ
δαιμόνιον. καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν. καὶ
μνημονεύειν ὅτι τοιαύτην ἔχει φύσιν ἡ τύχη.
ὥστε ἃ δέδωκεν ἀφελέσθαι, καὶ ταχέως πά
λιν δοῦναι πολλαπλάσια. αὖθις δὲ μόνον ἀ
φελέσθαι ἃ δέδωκεν. οὐ μόνον δὲ ἀλλὰ καὶ τὰ
προϋπάρχοντα. ἃ τοίνυν διδῶσι κελεύει λαμβά
νειν παρ' αὐτῆς καὶ συντόμως ἀπελθεῖν ἔχον
τα πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.
ποίαν ταύτην ἔφην ἐγώ. ἣν λήψονται πα
ρὰ τῆς παιδείας, ἢν διασωθῶσιν ἐκεῖ.
αὕτη οὖν τίς ἐστιν. ἡ ἀληθὴς ἐπιστήμη ἔφη

τῶν συμφερόντων καὶ ἀσφαλὴς δόσις καὶ βε-
βαία, καὶ ἀμετάβλητος. φεύγειν οὖν κελεύει
συντόμως πρὸς ταύτην. καὶ ὅταν ἔλθωσι
πρὸς τὰς γυναῖκας ἐκείνας ἃς καὶ πρότερον εἶ-
πον. ὅτι ἀκρασία καὶ ἡδυπάθεια καλοῦνται.
καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττε-
σθαι. καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδὲν.
ἕως ἂν πρὸς τὴν ψευδοπαιδείαν ἀφίκωνται.
κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ
λαβεῖν ὅτι ἂν βούλωνται παρ᾽ αὐτῆς ὥσπερ
ἐφόδιον. εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀ-
ληθινὴν παιδείαν συντόμως. ταῦτ᾽ ἐστὶν ἃ
προστάττει τὸ δαιμόνιον. ὅς τις τοίνυν παρ᾽ αὐ-
τὰ τί ποιεῖ, ἢ παρακούει ἀπόλλυται κακὸς
κακῶς. ὁ μὲν δὴ μῦθος ὦ ξένοι ὁ ἐν τῷ πί-
νακι τοιοῦτος ἡμῖν ἐστιν. εἰ δὲ δεῖ τί προσπυ-
θέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. ἐ-
γὼ γὰρ ὑμῖν φράσω. καλῶς λέγεις ἔφην ἐ-
γώ. ἀλλὰ τί κελεύει αὐτοὺς τὸ δαιμόνιον λα-
βεῖν παρὰ τῆς ψευδοπαιδείας. ταῦθ᾽ ἃ δοκεῖ
εὔχρηστα εἶναι. ταῦτ᾽ οὖν τίνα ἐστί. γράμ-
ματα ἔφη καὶ τῶν ἄλλων μαθημάτων ἃ καὶ πλά-

των φησίν. ὥσπερ εἰ χαλινοῦ τινος δύναμιν ἔ-
χειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.
πότερον δὲ ἀναγκαῖα ταῦτα λαβεῖν εἰ μέλλοι τις
ἥξειν πρὸς τὴν ἀληθινὴν παιδείαν, ἢ οὔ. ἀνα-
γκαῖα μὲν οὐδὲ μία ἔφη. χρήσιμα μέντοι ἐστί.
πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλε-
ται ταῦτα. οὐθὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶ-
ναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας; ἔστι γὰρ
καὶ ἄνευ τούτων βελτίους γενέσθαι. ὅμως δὲ οὐ
κἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι' ἑρμηνέως συ-
μβάλλομεν τὰ λεγόμενα ἅπαντα. ὅμως μέντοι
γε οὐκ ἄχρηστον ἦν ἡμᾶς καὶ αὐτοὺς τὴν φωνὴν ἀ-
κριβεστέραν ἔχειν ἄν τι συνήκαμεν. οὕτως καὶ ἄ-
νευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέ-
σθαι. πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μα-
θηματικοὶ, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων
ἀνθρώπων; πῶς μέλλουσι προέχειν ἐπεὶ
δ' ἂν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ
κακῶν ὥσπερ καὶ οἱ ἄλλοι. καὶ ἔτι κατεχόμε-
νοι ὑπὸ πάσης κακίας. οὐδὲν γὰρ κωλύει εἰ-
δέναι μὲν γράμματα καὶ κατέχειν τὰ μαθήμα-
τα πάντα. ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ

εἶναι. καὶ φιλάργυρον. καὶ ἄδικον. καὶ προδότην.
καὶ τὸ πέρας ἄφρονα. ἀμέλει πολλοὺς τοι-
ούτους ἐστὶν ἰδεῖν. πῶς οὖν οὗτοι προέχουσιν,
ἔφη εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα
τούτων τῶν μαθημάτων. οὐδαμῶς φαίνεται
ἐκ τούτου τοῦ λόγου. ἀλλὰ τί ἐστιν ἔφην ἐγὼ
τὸ αἴτιον. ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ, διατρί-
βουσιν ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν
παιδείαν. καὶ τί τοῦτο ὠφελεῖ αὐτοὺς ἔφη ὅταν
πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ
πρώτου περιβόλου ἀπὸ τῆς ἀκρασίας καὶ
τῆς ἄλλης κακίας εἰς τὸν τρίτον περίβολον,
πρὸς τὴν παιδείαν τὴν ἀληθινήν. οἳ τούτους
τοὺς μαθηματικοὺς παραλλάττουσιν. ὥστε
πῶς ἔτι προέχουσιν. ἄρα ἢ ἀκινητότεροι ἢ
δυσμαθέστεροί εἰσιν. πῶς ἔφην τοῦτο ἐγώ. ὅ-
τι ἐν τῷ δευτέρῳ περιβόλῳ εἰ μηδὲν ἄλλο,
ὃ προσποιοῦνται γε ἐπίστασθαι, οὐκ οἴδασιν
ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν. ἀκινήτους
αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν
ἀληθινὴν παιδείαν. εἶτα τὸ ἕτερον οὐχ ὁ-
ρᾷς ὅτι καὶ αἱ δόξαι ἐκ τοῦ πρώτου περιβό-

λ' ἐσεμνρεύονται πρὸς αὐτοὺς ὁμοίως. ὥστε οὐ-
δὲν οὗτοι ἐκείνων βελτίους εἰσὶ, ἐὰμ μὴ καὶ τού-
τοις συνῇ μεταμέλεια καὶ πεισθῶσιν ὅτι οὐ
παιδείαν ἔχουσιν ἀλλὰ ψευδοπαιδείαν. δι'
ἣν ἀπατῶνται, οὕτω διακείμενοι, οὐκ ἄν ποτε
σωθεῖεν. καὶ ὑμεῖς τοίνυν ὦ ξένοι ἔφη ἐὰν μὴ
οὕτως ποιῆτε καὶ ἐμ διατρίβητε τοῖς λεγο-
μένοις μέχρις ἂμ ἕξιν λάβητε· ἀλλὰ περὶ τῶν
αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν· καὶ μὴ δια-
λείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι, εἰ
δὲ μὴ οὐδὲν ὄφελος ἔσται ὧν νῦν ἀκούετε·
ποιήσομεν. τοῦτο δὲ ἐξήγησαι πῶς οὐκ ἔστιν
ἀγαθὰ ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι πα-
ρὰ τῆς τύχης. οἷον τὸ ζῆν. τὸ ὑγιαίνειν. τὸ πλουτεῖν
τὸ εὐδοξεῖν. τὸ τέκνα ἔχειν. τὸ νικᾶν. καὶ τὰ λοι-
πὰ ὅσα τούτοις παραπλήσια. ἢ πάλιν τἀ ἐ-
ναντία πῶς οὐκ ἔστι κακά. πάνυ γὰρ ἡμῖν πα-
ράδοξομ καὶ ἄπιστομ δοκεῖ λεγόμενον· ἄγε
τοίνυν πειρῶ ἔφη ἀποκρίνασθαι τὸ φαινόμε-
νομ περὶ ὧν ἄν σε ἐρωτῶ· ἀλλὰ ποιήσω τοῦ-
το ἔφην ἐγώ· πότερομ οὖμ κἂμ κακῶς τις
ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν; οὔ μοι δοκεῖ ἀλλὰ

κακὸμ ἔφην ἐγώ. πῶς οὖν ἀγαθόν ἐστι τὸ
ζῆμ ἔφη. ὥσπερ τούτῳ ἐστὶ κακόν· ὅτι τοῖς μὲν
κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι. τοῖς δὲ κα-
λῶς, ἀγαθόμ. καὶ κακὸμ ἄρα λέγεις τὸ ζῆν
καὶ ἀγαθὸν εἶναι. ἔγωγε. μὴ οὖν ἀπιθα-
νως λέγε. ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ
κακὸμ καὶ ἀγαθὸν εἶναι. οὕτω μὲν γὰρ καὶ ὠ-
φέλιμον καὶ βλαβερὸν ἂν εἴη. καὶ αἱρετὸμ καὶ φευ-
κτὸν ἅμα ἀεί. ἀπίθανον μέμ. ἀλλὰ πῶς
εἰ τὸ κακῶς ζῆμ, ᾧ ἂμ ὑπάρχοι, κακόν τι ὑ-
πάρχει αὐτῷ, κακὸμ αὐτὸ τὸ ζῆν ἐστιν. ἀλ-
λ᾽ οὐ τὸ αὐτὸ ἔφη κακὸν ὑπάρχει τὸ ζῆν τῷ κα-
κῶς ζῆν. ἢ οὔ σοι φαίνεται. ἀμέλει οὐδ᾽ ἐ-
μοὶ δοκεῖ τὸ αὐτὸ εἶναι. τὸ τοίνυν ζῆν οὐ κακόν
ἐστιν. ἐπεὶ εἰ ἦμ κακόμ, τοῖς ζῶσι καλῶς κα-
κὸμ δὴ ὑπῆρχεν. ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν
ὅπερ ἐστὶ κακόμ. ἀληθῆ μοι δοκεῖς λέγειμ. ἐ-
πεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν καὶ
τοῖς κακῶς ζῶσι καὶ τοῖς καλῶς, οὐκ ἂμ εἴη οὔτε
ἀγαθὸμ εἶναι τὸ ζῆμ οὔτε κακόν. ὥσπερ οὐ-
δὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀρρωστοῦσιν ἐ-
στὶ νοσερὸν καὶ ὑγιεινόμ. οὐκοῦμ οὕτω καὶ ἐπὶ

τοῦ ζῆν ἐστὶ ταῦτα. σὺ τοίνυν οὕτως θεώρη-
σον πότερον ἂν βούλοιο ζῆν κακῶς ἢ ἀποθανεῖν
καλῶς καὶ ἀμδρείως. ἀποθανεῖν ἔγωγε κα-
λῶς. οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν εἴ-
περ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθα-
νεῖν τοῦ ζῆν. ἔστι ταῦτα. οὐκοῦν ὁ αὐτὸς λό-
γος καὶ περὶ τοῦ ὑγιαίνειν καὶ νοσεῖν. πολλάκις γὰρ
οὐ συμφέρει ὑγιαίνειν· ἀλλὰ τοὐναντίον. ὅταν
ᾖ περίστασις τοιαύτη. ἀληθῆ λέγεις. ἄγε
δὴ σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως·
εἴ γε θεωρεῖν ἐστιν ὡς πολλάκις ἐστὶν ἰδεῖν ὑπάρ-
χοντά τινι πλοῦτον· κακῶς δὲ ζῶντα τοῦτον καὶ
ἀθλίως. νὴ Δία πολλούς γε. οὐκοῦν οὐδὲν
τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς.
οὐ φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν. οὐκοῦν τὸ
σπουδαίους εἶναι οὐχ ὁ πλοῦτος ποιεῖ ἀλλὰ ἡ
παιδεία. εἰκός γε. ἐκ τούτου ἄρα τοῦ λόγου
ποῦ ὁ πλοῦτος ἀγαθόν ἐστιν εἴπερ οὐ βοηθεῖ
τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι.
φαίνεται οὕτως. οὐδὲ συμφέρει ἄρα ἐνίοις
πλουτεῖν ὅταν μὴ ἐπίστωνται τῷ πλούτῳ χρῆ-
σθαι. δοκεῖ μοι. πῶς οὖν τοῦτο ἄν τις κρί-

μὴ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑ-
πάρχειν. οὐδαμῶς. οὐκοῦν οἱ μέν τις ἐπίστα-
ται πλούτῳ χρῆσθαι καλῶς, καὶ ἐμπείρως, εὖ
βιώσονται. οἱ δὲ μὴ, κακῶς. ἀληθέστατά μοι
δοκεῖς τοῦτο λέγειν. καὶ τὸ σύμβολον δὲ τὸ τι-
μᾶν ταῦτα ὡς ἀγαθὰ ὄντα. ἢ ἀτιμάζειν ὡς
κακά. τοῦτό ἐστι τὸ ταράττον τοὺς ἀνθρώπους
καὶ βλάπτον. ὅταν τιμῶσί τε αὐτὰ καὶ οἴονται
διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν. καὶ
πάνθ' ἑπομένως πράττουσιν ἕνεκα τούτων. καὶ τὰ ἀ-
σεβέστατα δοκοῦντα εἶναι. ταῦ-
τα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγα-
θοῦ ἄγνοιαν.

# ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕ ΓΑΛΟΥ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕ ΤΙΚΟΣ ΠΡΟΣ ΤΟΥΣ ΝΕ ΟΥΣ ΠΩΣ ΑΝ ΕΞ ΕΛΛΗΝΙ ΚΩΝ ΩΦΕΛΟΙΝΤΟ ΛΟΓΩΝ

ολλά με τὰ παρακαλοῦντά ἐστι συμβουλεῦσαι ὑμῖν ὦ παῖδες. ἃ βέλτιστα εἶναι κρίνω. καὶ ἃ ξυνοίσειν ὑμῖν ἑλομένοις πεπίστευκα. τό, τε γὰρ ἡλικίας οὕτως ἔχειν. καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων. καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ᾽ ἄμφω μεταβολῆς, ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν. ὥστε τοῖς ἄρτι καθισταμένοις τὸν βίον, ἔχειν ὥσπερ ὁδὸν τὴν ἀσφαλεστάτην ὑποδεικνύναι. τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι. εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω. ὥστε μήτε αὐτὸς ἔλαττον τι πατέρων εὐνοίας νέμειν ὑμῖν, ὑμᾶς δέ γε νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώ

μης, μὴ χεῖρον τοὺς τεκόντας πρὸς ἐμὲ βλέ-
ποντας. εἰ μὲμ οὖμ προθύμως δέχοισθε τὰ
λεγόμενα, τῆς δευτέρας τῶν ἐπαινουμέ-
νων ἔσεσθε παρ' ἡσιόδῳ τάξεως· εἰ δὲ μὴ, ἐ-
γὼ μὲμ, οὐδὲν ἂμ εἴποιμι δυσχερές. αὐτοὶ
δὲ μέμνησθε τῶν ἐπῶν. δηλονότι ἐμ οἷς ἐκεῖ-
νός φησιν, ἄριστομ μὲμ εἶναι, τὸν παρ' ἑαυτοῦ τὰ
δέοντα ξυνορῶντα. ἐσθλὸμ δὲ, κἀκεῖνον, τὸν
τοῖς παρ' ἑτέρωμ ὑφηγηθεῖσιν ἑπόμενον. τὸν
δὲ, πρὸς οὐδέτερομ ἐπιτήδειον, ἀχρεῖον εἶναι
πρὸς ἅπαντα. μὴ θαυμάζετε δὲ, εἰ καθ' ἑκά-
στημ ἡμέραν εἰς διδασκάλους φοιτῶσι. καὶ τοῖς
ἐλλογίμοις τῶμ παλαιῶμ ἀνδρῶμ· δι' ὧμ κα-
ταλελοίπασι λόγων συγγινομένοις ὑμῖμ, αὐ-
τός τι παρ' ἐμαυτοῦ λυσιτελέστερον ἐξευρη-
κέναι φημί. τοῦτο μὲν οὖμ αὐτὸ, καὶ συμβου-
λεύσων ἥκω· τὸ μὴ δεῖν εἰσάπαξ. τοῖς ἀν-
δράσι τούτοις· ὥσπερ πλοίου τὰ πηδαλί-
α τῆς διανοίας ὑμῶν παραδόντας, ᾗπερ ἂν
ἄγωσι ταύτῃ ξυνέπεσθαι· ἀλλ' ὅσον ἐστὶ, χρή-
σιμομ αὐτῶν δεχομένους· εἰδέναι τί χρὴ καὶ
παριδεῖμ. τίνα οὖν ἐστι ταῦτα, καὶ ὅπως δια

κρινοῦμεν. τοῦτο δὴ καὶ διδάξω. ἔνθεν ἑλών.

Ἡμεῖς ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν. οὔτ᾽ ἀγαθόν τι νομίζομεν ὅλως. οὔτ᾽ ὀνομάζομεν. ὃ τὴν συντέλειαν ἡμῖν, ἄχρι τούτου παρέχεται. οὔκουν προγόνων περιφάνειαν. οὐκ ἰσχὺν σώματος. οὐ κάλλος. οὐ μέγεθος. οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς. οὐ βασιλείαν αὐτήν. οὐχ᾽ ὅτι ἄν, εἴποι τις τῶν ἀνθρωπίνων μέγα. ἀλλ᾽ οὐδὲ εὐχῆς ἄξιον κρίνομεν. ἢ τοὺς ἔχοντας ἀποβλέπομεν. ἀλλ᾽ ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσι. καὶ πρὸς ἑτέρου βίου παρασκευὴν ἅπαντα πράττομεν. ἃ μὲν οὖν ἄν, συντελῇ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναι φαμέν. τὰ δ᾽ οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον ὡς οὐδενὸς ἄξια παρορᾶν. τίς δὴ οὖν οὗτος ὁ βίος καὶ ὅπῃ. καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μὲν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι. μειζόνων δὲ, ἢ καθ᾽ ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. τοσοῦτον μὲν εἰπών, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδείξαιμι, ὅτι πᾶσαν ὁμοῦ τὴν

ἀφ' οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τις συλ-
λαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν. οὐδὲ
πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει
παρισουμένην· ἀλλὰ πλεῖον, τῶν ἐν ἐκείνοις ἐ-
λαχίστου τὰ σύμπαντα· τῶν τῇδε καλῶν,
κατὰ τὴν ἀξίαν ἀφεστηκότα. ἢ καθ' ὅσον σκιὰ
καὶ ὄναρ τῶν ἀληθινῶν ἀπολείπεται· μᾶλλον
δὲ, ἵνα οἰκειοτέρῳ χρήσωμαι παραδείγματι.
ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος·
τοσοῦτον καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ δια-
φορον. εἰς δὴ τοῦτον ἄγουσι μὲν ἱεροὶ λόγοι. δι' ἀ-
πορρήτων ἡμᾶς ἐκπαιδεύοντες. ἕως γε μὴν ὑ-
πὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς δια-
νοίας αὐτῶν οὐχ οἷόν τε, ἐν ἑτέροις οὐ πάντη
διεστηκόσιν. ὥσπερ ἐν σκιαῖς τισὶ καὶ κατό-
πτροις τῷ τῆς ψυχῆς ὄμματι τέως προγυ-
μναζόμεθα. τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέ-
τας ποιουμένους μιμούμενοι. οἵ γε ἐν χειρο-
νομίαις καὶ ὀρχήσεσι, τὴν ἐμπειρίαν κτησάμε-
νοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύ-
ουσι κέρδους. καὶ ἡμῖν δὴ οὖν ἀγῶνα προκεῖ-
σθαι πάντων ἀγώνων μέγιστον νομίζειν χρε-

ὧν, ὑπὲρ οὗ πάντα ποιητέον ἡμῖν. καὶ πονη-
τέον εἰς δύναμιν ἐπὶ τὴν τούτου παρασκευ-
ήν. καὶ ποιηταῖς καὶ λογοποιοῖς. καὶ ῥήτορσι. καὶ
πᾶσιν ἀνθρώποις ὁμιλητέον. ὅθεν ἂν μέλ-
λῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά
τις ἔσεσθαι. ὥσπερ οὖν οἱ δευσοποιοὶ παρα-
σκευάσαντες πρότερον, θεραπείαις τισὶν ὅ,
τι ποτ' ἂν, ᾖ τὸ δεξόμενον τὴν βαφήν. οὕτω τὸ
ἄνθος ἐπάγουσιν ἄν τε ἁλουργὲς. ἄν τέ τι ἕτε-
ρον ᾖ. τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον. εἰ μέλλοι
ἀνέκπλυτος ἡμῖν, ἡ τοῦ καλοῦ παραμένειν
δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες,
τηνικαῦτα τῶν ἱερῶν καὶ ἀπορρήτων ἐπακου-
σόμεθα παιδευμάτων. καὶ οἷον ἐν ὕδατι τὸν
ἥλιον ὁρᾶν ἐθισθέντες, οὕτως αὐτῷ προσβα-
λοῦμεν τῷ φωτὶ τὰς ὄψεις. εἰ μὲν οὖν ἐστί-
τις καὶ οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις,
προὔργου ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο. εἰ
δὲ μή, ἀλλὰ τό γε παράλληλα θέντας, κατα-
μαθεῖν τὸ διάφορον. οὐ μικρὸν εἰς βεβαίωσιν
τοῦ βελτίονος. τίνι μέντοι καὶ παρεικάσας τῶν
παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις.

ᾗ πῃ καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ, τῷ
καρπῷ βρύειν ὡραίῳ. φέρει δέ τινα κόσμον καὶ
φύλλα τοῖς κλάδοις περισειόμενα. οὕτω δὴ
καὶ ψυχῇ, προηγουμένως μὲν καρπὸς ἡ ἀ-
λήθεια· οὐκ ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν
σοφίαν περιβεβλῆσθαι. οἷόν τινα φύλλα σκέ-
πην τε τῷ καρπῷ, καὶ ὄψιν οὐκ ἄωρον παρε-
χόμενα. λέγεται τοίνυν καὶ Μωϋσῆς ἐκεῖνος· ὁ
πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶ-
σιν ἀμθρώποις ὄμομα τοῖς αἰγυπτίων μαθή-
μασιν· ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω
προσελθεῖν τῇ θεωρίᾳ τοῦ ὄντος· παραπλη-
σίως δὲ τούτῳ κἀν τοῖς κάτω χρόνοις, τὸν σο-
φὸν Δανιὴλ ἐπὶ βαβυλῶνός φασι τὴν χαλδαί-
ων σοφίαν καταμαθόντα, τότε τῶν θείων ἅψα-
σθαι παιδευμάτων· ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον
ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα, ἱ-
κανῶς εἴρηται. ὅπως γε μὴν, αὐτῶν μεθεκτέον
ἡμῖν, ἑξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς
παρὰ τῶν ποιητῶν, ἵν' ἐντεῦθεν ἄρξωμαι, ἐ-
πεὶ παντοδαποί τινές εἰσι, μὴ πᾶσιν ἐφε-
ξῆς προσέχειν τὸν νοῦν· ἀλλ' ὅταν μὲν, τὰς τῶν

ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ἡμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν, καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι. ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι, τὴν μίμησιν ταύτην δεῖ φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα, οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα φασὶν ἐκεῖνοι πρὸς τὰ τῶν σειρήνων τὰ μέλη. ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τις ἐστὶν ἐπὶ τὰ πράγματα. διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητὰς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας, ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις, τὴν εὐδαιμονίαν ὁρίζωνται. πάντων δὲ ἥκιστα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν, καὶ μάλιστα ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι, καὶ τούτων οὐδὲ ὁμονοούντων. ἀδελφὸς γὰρ δὴ παρ᾽ ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν, καὶ γονεὺς πρὸς παῖδας, καὶ τούτοις αὖθις πρὸς τοὺς τε

κόντας πόλεμός ἐστιν ἀκήρυκτος. μοιχείας δὲ θεῶν, καὶ ἔρωτας. καὶ μίξεις ἀναφανδόν, καὶ ταύτας μάλιστα τὰς τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διός. ὡς αὐτοὶ λέγουσιν· ἃ κἂν περὶ βοσκημάτων τίς λέγων ἐρυθριάσειε· τοῖς ἐπὶ σκηναῖς καταλείψομεν. ταὐτὰ δὴ ταῦτα λέγειν. καὶ περὶ συγγραφέων ἔχω. καὶ μάλιστα ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. καὶ ῥητόρων δὲ, τὴν περὶ τὸ ψεύδεσθαι τέχνην, οὐ μιμησόμεθα. οὔτε γὰρ ἐν δικαστηρίοις οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον, ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου. οἷς τὸ μὴ δικάζεσθαι νόμῳ προστεταγμένον ἐστίν· ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα. ἐν οἷς ἀρετὴν ἐπῄνεσαν. ἢ κακίαν διέβαλον. ὡς γὰρ τῶν ἀνθέων. τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας, ἢ τῆς χρόας ἐστὶν, ἡ ἀπόλαυσις· ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει· οὕτω δὴ κἀνταῦθα τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον, τῶν τοιούτων λόγων διώκουσιν, ἐστί τινα καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς

τὴν ψυχὴν ἀφελεῖσθαι. κατὰ πᾶσαν δὴ οὖν τὴν μελιττῶν εἰκόνα τῶν λόγων ἡμῖν μεθεκτέον. ἐκεῖναί τε γὰρ οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται· οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν, ὅλα φέρειν ἐπιχειροῦσιν· ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον εἰς τὴν ἐργασίαν λαβοῦσαι τὸ λοιπὸν χαίρειν ἀφῆκαν. ἡμεῖς τε ἢν σωφρονῶμεν. ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. καὶ καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι τὰς ἀκάνθας ἐκκλίνομεν· οὕτω κἀπὶ τῶν τοιούτων λόγων, ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξόμεθα. εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσήκει, κατὰ τὴν Δωρικὴν παροιμίαν· τὸν λίθον ποτὶ τὰν σπάρταν ἄγοντας· καὶ ἐπειδήπερ δι' ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι δεῖ τὸν ἡμέτερον· εἰς ταύτην δὲ, πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλέω φιλοσόφοις ἀνδράσιν, ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον· οὐ

μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνή-
θειαν ταῖς τῶν νέων ψυχαῖς αὐτῆς ἐγγενέσθαι·
ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι, τὰ τῶν
τοιούτων μαθήματα. δι᾽ ἁπαλότητα τῶν
ψυχῶν εἰς βάθος ἐνσημαινόμενα. ἢ τί ποτ᾽ ἂν
ἄλλο διανοηθέντα τὸν ἡσίοδον ὑπολάβωμεν
ταυτὶ ποιῆσαι τὰ ἔπη· ἃ πάντες ᾄδουσιν. ἢ οὐ-
χὶ προτρέποντα τοὺς νέους ἐπ᾽ ἀρετήν. ὅτι τρα-
χεῖα μὲν, πρῶτον καὶ δύσβατος· καὶ ἱδρῶτος
συχνοῦ. καὶ πόνου πλήρης ἡ πρὸς ἀρετὴν φέ-
ρουσα. καὶ ἀνάντης ὁδός. διόπερ οὐ παντὸς, οὔ-
τε προσβῆναι αὐτῇ, διὰ τὸ ὄρθιον, οὔτε προσβάν-
τι ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. ἄνω δὲ γενο-
μένῳ ὁρᾶν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλή.
ὡς δὲ ῥᾳδία καὶ εὔπορος. καὶ τῆς ἑτέρας ἡδίων
τῆς ἐπὶ τὴν κακίαν ἀγούσης. ἣν ἀθρόαν λα-
βεῖν εἶναι ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιη-
τὴς ἔφησεν. ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον,
ἢ προτρέπων ἡμᾶς ἐπ᾽ ἀρετὴν. καὶ παρα-
καλῶν, ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα
διελθεῖν. καὶ ὥστε μὴ καταμαλακισθέντας,
πρὸς τοὺς πόνους προαποστῆναι τοῦ τέλους

καὶ μέντοι καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τῶν
ἀρετῶν ὑμνήσειεν, ὡς εἰς τούτους ἡμᾶς φέροντα
τοὺς λόγους, ἀποδεχώμεθα· ὡς δὲ ἐγώ τινος
ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ δι-
άνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ ὁμήρῳ ἀρε-
τῆς ἐστιν ἔπαινος· καὶ πάντα αὐτῷ πρὸς τοῦτο
φέρει· ὅ τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς
τὸν στρατηγὸν τῶν κεφαλλήνων πεποίηκε γυ-
μνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα. πρῶτον
μὲν, αἰδεσθῆναι τὴν βασιλίδα φανέντα μόνον
τοσοῦτον δεῖν αἰσχύνην ὀφλῆσαι γυμνὸν ὀ-
φθέντα. ἐπειδή περ αὐτὸν ἀρετῇ ἀντὶ ἱματίων
κεκοσμημένον ἐποίησεν. ἔπειτα μέντοι καὶ
τοῖς λοιποῖς φαίαξι τοσοῦτον ἄξιον νομισθῆ-
ναι. ὥστε ἀφέντας τὴν τρυφὴν ᾗ συνέζων, ἐκεῖ-
νον ἀποβλέπειν. καὶ ζηλοῦν ἅπαντας. καὶ μη-
δένα φαιάκων ἐν τῷ τότε εἶναι ἄλλο ὅτι ἂν εὔ-
ξασθαι μᾶλλον ἢ ὀδυσσέα γενέσθαι, καὶ ταῦ-
τα ἐκ ναυαγίου περισωθέντα. ἐν τούτοις γὰρ
ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς
μονονουχὶ βοῶντα λέγειν τὸν ὅμηρον· ὅτι τῆς ἀ-
ρετῆς ὑμῖν ἐπιμελητέον ὦ ἄνθρωποι. ἣ καὶ

ναυαγήσαντι συνοικῆσαι· καὶ ἐπὶ τῆς χέρσου
φαινόμενον γυμνὸν τιμιώτερομ ἀποδεῖξαι τῶμ
εὐδαιμόνων Φαιάκων. καὶ γὰρ οὕτως ἔχει· τὰ μὲμ
ἄλλα τῶν κτημάτων οὐ μᾶλλον τῶν ἐχόντων, ἢ
καὶ οὑτινοσοῦν τῶν ἐπιτυχόντων ἐστίν· ὥσπερ ἐμ
παιδιᾷ κύβωμ· τῇδε κἀκεῖσε μεταβαλλόμε-
να. μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετομ.
καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. ὅ-
θεμ δὴ καὶ Σόλων μοι δοκεῖ, πρὸς τοὺς εὐπό-
ρους εἰπεῖν. ἀλλ' ἡμεῖς οὐ διαμειψόμεθα τῆς ἀ-
ρετῆς τὸμ πλοῦτον. ἐπεὶ τὸ μὲν ἔμπεδον
αἰεί· χρήματα δ' ἀνθρώπωμ ἄλλοτε ἄλλος ἔχει.
παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐμ
οἷς φησὶ τὸν θεὸμ. ὅντινα δὴ καί φησι τοῖς ἀνθρώ-
ποις τὸ τάλαντον ἐπιρρέπειμ ἄλλοτε ἄλλως
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειμ· καὶ
μὴμ καὶ ὁ Κεῖός που σοφιστής, τῶν ἑαυτοῦ συγ-
γραμμάτων, ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κα-
κίαμ ἐφιλοσόφησεμ. ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοι-
αμ προσεκτέον. οὐ γὰρ ἀπόβλητος ἀνήρ. ἔχει
δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς
τῆς διανοίας μέμνημαι. ἐπεὶ τά γε ῥήματα

οὐκ ἐπίσταμαι πλὴν γε δή, ὅτι ἁπλῶς οὕτως
εἴρηκεν· ἄνευ μέτρου. ὅτι νέῳ ὄντι τῷ ἡρακλεῖ
κομιδῇ· καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλι-
κίαν. ἣν ἡμεῖς νῦν, βουλομένῳ ποτέραν τράπη-
ται τῶν ὁδῶν. τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρε-
τήν· ἢ τὴν ῥᾴστην, προσελθεῖν δύο γυναῖκας·
ταύτας δὲ εἶναι ἀρετὴν καὶ κακίαν. εὐθὺς
μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ
σχήματος τὸ διάφορον· εἶναι δὴ τὴν μὲν ὑπὸ
κομμωτικῆς διασκευασμένην ἐς κάλλος· καὶ
ὑπὸ τρυφῆς διαρρεῖν· καὶ πάντα ἑσμὸν ἡδο-
νῆς ἐξηρτημένην ἄγειν. ταῦτά τε οὖν δεικνύ-
ναι· καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην ἕλ-
κειν ἐπιχειρεῖν τὸν ἡρακλέα πρὸς αὐτήν. τὴν
δὲ ἑτέραν κατεσκληκέναι· καὶ αὐχμεῖν· καὶ σύν-
τονον βλέπειν· καὶ λέγειν τοιαῦθ' ἕτερα· ὑπισχνεῖ-
σθαι γὰρ οὐδὲν ἀνειμένον. οὐδὲ ἡδύ· ἀλλ' ἱδρῶ-
τας μυρίους καὶ πόνους· καὶ κινδύνους διὰ πά-
σης ἠπείρου τε καὶ θαλάσσης· ἆθλον δὲ τού-
των εἶναι, θεὸν γενέσθαι· ὡς ὁ ἐκείνου λόγος·
ἧπερ δὴ καὶ τελευτῶντα τὸν ἡρακλέα ξυνέ-
πεσθαι· καὶ σχεδὸν ἅπαντες. ὧν δὴ καὶ λόγος;

τίς ἐστὶν ἐπὶ σοφίᾳ, ἢ μικρὸς ἢ μείζων. εἰς
δύναμιν ἕκαστος ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν
ἀρετῆς ἔπαινον διεξήλθομεν. οἷς πιστέον. καὶ
πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λό-
γους. ὡς ὅ γ' ὧν ἄχρι ῥήματος παρὰ τοῖς ἄλλοις
φιλοσοφίαν ἔργῳ βεβαιῶν οἷος πέπνυται. τοὶ
δὲ σκιαὶ ἀΐσσουσι. καί μοι δοκεῖ τὸ τοιοῦτον
παραπλήσιον εἶναι. ὥσπερ ἂν εἰ ζωγρά-
φου θαυμαστόν τι. οἷον, κάλλος ἀνθρώπου μι-
μησαμένου. ὁ δὲ αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς
ἀληθείας. οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδει-
ξεν. ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν
ἀρετὴν εἰς τὸ μέσον. καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀ-
ποτεῖναι λόγους. ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφρο-
σύνης. καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τι-
μᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς
ὑποκρινομένοις τὰ δράματα. οἳ ὡς βασιλεῖς
καὶ δυνάσται πολλάκις εἰσέρχονται. οὔτε βασι-
λεῖς ὄντες οὔτε δυνάσται. οὐδὲ μὲν οὖν τυχὸν
ἐλεύθεροι τὸ παράπαν. εἶτα μουσικὸς μὲν
οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύ-
ραν εἶναι. καὶ χοροῦ κορυφαῖος μὴ ὅτι μάλι-

στα συνᾴδοντα τὸν χορὸν ἔχειν. αὐτὸς δέ τις
ἕκαστος διαστασιάζει πρὸς ἑαυτόν. καὶ οὐχὶ
τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται.
ἀλλ' ἡ γλῶττα μὲν ὀμώμοκεν. ἡ δὲ φρὴν ἀ-
νώμοτος κατ' Εὐριπίδην. καὶ τὸ δοκεῖν ἀγα-
θὸν πρὸ τοῦ εἶναι διώξεται. ἀλλ' οὗτός ἐστιν ὁ
ἔσχατος τῆς ἀδικίας ὅρος, εἰ δεῖ τῷ πλάτωνι
πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.
τοὺς μὲν οὖν τῶν λόγων οἳ τὰς τῶν καλῶν ἔχου-
σιν ὑποθήκας οὕτως ἀποδεχόμεθα. ἐπειδὴ
δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν
ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζον-
ται. ἢ ποιητῶν ἢ συγγραφέων φυλαττόμεναι
λόγοις. μὴ δὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπο-
λειπώμεθα. οἷον ἐλοιδόρει τὸν περικλέα τῶν ἐξ
ἀγορᾶς τις ἀνθρώπων. ὁ δὲ οὐ προσεῖχε. καὶ
εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν. ὁ μὲν ἀ-
φειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν. ὁ δὲ οὐ μέλ-
λων αὐτῷ. εἶτα ἑσπέρας ἤδη καὶ σκότους ἀ-
παλαττόμενον μόλις ὑπὸ φωτὶ παρέπε-
μψε περικλῆς. ὅπως αὐτῷ μὴ διαφθείρῃ τὸ
πρὸς φιλοσοφίαν γυμνάσιον. πάλιν τις ἐν

κλείδῃ τῷ μεγαρόθεν παροξυνθεὶς, θάνατον
ἠπείλησε. καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν. ἦ
μὴν ἱλεώσεσθαι αὐτόν. καὶ παύσειν χαλεπῶς
πρὸς αὐτὸν ἔχοντα· πόσου ἄξιον τὸ τοιοῦτο τί
παραδειγμάτων. εἰσελθεῖν τῇ μνήμῃ ἀν-
δρὸς ὑπὸ ὀργῆς ἤδη κατεχομένου· τῇ φαύλῳ
δίᾳ γὰρ οὐ πιστέον ἁπλῶς λεγούσῃ ἐπὶ ἐχθροὺς
θυμὸς ὁπλίσει χέρα· ἀλλὰ μάλιστα μὲν, μὴ
δὲ διανίστασθαι, πρὸς θυμὸν τὸ παράπαν·
εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ᾽ ὥσπερ χαλινὸν αὐ-
τῷ τὸν λογισμὸν ἐκβαλόντας μὴ ἐᾶν ἐκφέρε-
σθαι περαιτέρω. ἐπανάγωμεν δὲ τὸν λόγον
αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων πα-
ραδείγματα· ἔτυπτέ τις τὸν σωφρονίσκου
σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν
ἀφειδῶς. ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ
παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι. ὥστε
ἐξοιδεῖν ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον
ὑπὸ τῶν πληγῶν εἶναι· ὡς δ᾽ οὖν ἐπαύσατο
τύπτων, ἄλλο μὲν οὐδὲν ὁ σωκράτης ποιῆ-
σαι. ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγων ὥσ-
περ ἀνδριάντι τὸν δημιουργόν, ὁ δεῖνα ἐποίει.

καὶ τοσούτου ἀμύνασθαι. ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φερόμενα, πολλοῦ ἄξιον ἡμῖν μιμήσασθαι τοὺς τηλικούτους φημί. τοῦτο μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματί ἐστι, τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσήκει. τοσούτου δεῖν ἀπαμύνεσθαι. τὸ δὲ τοῦ Περικλέους ἢ τοῦ Εὐκλείδου τῷ τοὺς διώκοντας ὑπομένειν. καὶ πράως αὐτοῖς τῆς ὀργῆς ἀπέχεσθαι. καὶ τὸ τοῖς ἐχθροῖς εὔχεσθαι ἀγαθά. ἀλλὰ μὴ ἐπαρᾶσθαι. ὥς γε ἐμ τούτοις προπαιδευθεὶς οὐκέτ' ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου. ὃς τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβὼν, θαυμαστόμ τι οἷομ τὸ κάλλος παρέχειν μαρτυρουμένας. οὐδὲ προσιδεῖμ ἠξίωσεν. αἰσχρὸν εἶναι κρίνων τοὺς ἄνδρας ἑλόντας γυναικῶμ ἡττηθῆναι. τουτὶ γὰρ εἰς ταὐτὸμ ἐκείνῳ φέρει ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴμ γυναικί. κἂμ μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος. τὸ δὲ τοῦ

κλεινίου τῶν πυθαγόρου γνωρίμων ἐμὸς, χαλε
πὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι
τοῖς ἡμετέροις. ἀλλ' οὐχὶ μιμησαμένους σπου
δῇ. τί δὲ ἦν ὃ ἐκεῖνος ἐποίησεν. ἐξὸν δι' ὅρ
κου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν. ὁ δὲ
ἀπέτισε μᾶλλον ἢ ὤμοσε. καὶ ταῦτα εὐορ
κεῖν μέλλων, ἀκούσας ἐμοὶ δοκεῖν τοῦ προστά
γματος ἡμῖν τὸν ὅρκον ἀπαγορεύοντος. ἀλλ' ὅ
περ ἐξ ἀρχῆς ἔλεγον, πάλιν γὰρ εἰς ταὐτὸν ἐ
πανίωμεν. οὐ πάντα ἐφεξῆς παραδεκτέον ἡμῖν,
ἀλλ' ὅσα χρήσιμα. καὶ γὰρ αἰσχρὸν. τῶν μὲν σιτί
ων τὰ βλαβερὰ διωθεῖσθαι. τῶν δὲ μαθημά
των, ἃ τὴν ψυχὴν ἡμῖν τρέφει λόγον ἔχειν μη
δένα. ἀλλ' ὥσπερ χειμάῤῥους παρασύρον
τας, ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. καί
τοι τίνα λόγον ἔχει κυβερνήτην μὲν μὴ εἰκῆ τοῖς
πνεύμασιν ἐφιέναι. ἀλλὰ πρὸς ὅρμους εὐθύ
νειν τὸ σκάφος. καὶ τοξότην κατὰ σκοποῦ βάλ
λειν. καὶ μὲν δὴ χαλκευτικόν τινα ἢ τεκτονι
κὸν ὄντα. τοῦ κατὰ τέχνην ἐφίεσθαι τέλους.
ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολεί
πεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡ

μέτωρα. οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἐστὶ
πέρας τῆς ἐργασίας. τοῦ δὲ ἀνθρωπίνου βί-
ου σκοπὸς οὐκ ἔστι. πρὸς ὃν ἀφορῶντα πάντα
ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις
προσεοικέναι μέλλοντα. ἢ οὕτως ἂν εἴημεν
ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα,
οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων
καθεζομένου εἰκῆ κατὰ τὸν βίον, ἄνω καὶ κά-
τω περιφερόμενοι. ἀλλ' ὥσπερ ἐν τοῖς γυμνι-
κοῖς ἀγῶσιν. εἰ δὲ βούλει τοῖς μουσικοῖς
ἐκείνων εἰσὶ τῶν ἀγώνων, αἱ μελέται. ὧν περ
οἱ στέφανοι. καὶ οὐδείς γε πάλην ἀσκῶν ἢ παγ-
κράτιον. εἶτα κιθαρίζειν. ἢ αὐλεῖν μελετᾷ.
οὔκουν πολυδάμας γε. ἀλλ' ἐκεῖνος πρὸ τοῦ
ἀγῶνος τοῦ ἐν ὀλυμπίασι τὰ ἅρματα ἵστη
φέροντα. καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκρατύνετο
καὶ ὅ γε μίλων ἀπὸ τῆς ἀληλιμμένης ἀσπί-
δος οὐκ ἐξωθεῖτο ἀλλ' ἀντεῖχεν ὠθούμενος οὐ
χ ἧττον, ἢ οἱ ἀνδριάντες. οἱ τῷ μολίβδῳ συν-
δεδεμένοι. καὶ ἁπαξαπλῶς αἱ μελέται
αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. εἰ δὲ
τὰ μαρσίου ἢ τὰ ὀλύμπου τῶν φρυγῶν πε-

ρὶ ἐργαζόμενος κρούματα, καταλιπόμενος τὴν κώμην
καὶ τὰ γυμνάσια· οὐ ταχὺ γὰρ στεφάνων ἢ
δόξης ἔτυχον· ἢ διέφυγον τὸ μὴ καταγέλα
στοι γενέσθαι κατὰ τὸ σῶμα· ἀλλ' οὐ μέντοι οὐδὲ
τιμόθεος τὴν μελῳδίαν ἀφεὶς ἐν ταῖς παλαί
στραις διῆγεν· οὐ δὲ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν
αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ· ὥστε το
σοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν
ἐγείρειν διὰ τῆς συντόμου καὶ αὐστηρᾶς ἁρμονί
ας. καὶ μέντοι καὶ χαλᾶν. καὶ μαλάττειν πάλιν
διὰ τῆς ἀνειμένης ὅτε βούλοιτο· ταύτῃ
τοι καὶ ἀλεξάνδρῳ ποτὲ τὸ φρύγιον ἐπαυλή
σαντα ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέ
γεται, μεταξὺ δειπνοῦντα· καὶ ἐπαναγα
γεῖν αὖθις πρὸς τοὺς συμπότας τὴν ἁρμο
νίαν χαλάσαντα· τοσαύτην ἰσχὺν ἔν τε μου
σικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέ
λους κτῆσιν ἡ μελέτη παρέχεται· ἐπεὶ δὴ
δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι
μυρία παθόντες ἐπὶ μυρίοις καὶ πολλαχόθεν
τὴν ῥώμην ἑαυτῶν συναυξήσαντες· πολλὰ
μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις πολ

λὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες. δίαιταν δὲ οὐ τὴν ἡδίστην. ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι. καὶ τἆλλα ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας. τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον. καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν. ὥστε κοτίνου λαβεῖν στέφανον. ἢ σελίνου. ἢ ἄλλου τινὸς τῶν τοιούτων. καὶ νικῶντες ἀναρρηθῆναι παρὰ τοῦ κήρυκος. ἡμῖν δὲ οἷς ἆθλα τοῦ βίου πρόκειται, οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει ὥστ' ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ' ἄμφω καθεύδουσι. καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει. πολλοῦ μέντἂν ἄξιον ἦν ἡ ῥαθυμία τῷ βίῳ. καὶ ὁ σαρδανάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο. ἢ ὁ μαργίτης εἰ βούλει. ὃν οὔτ' ἀροτῆρα οὔτε σκαπτῆρα. οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτήδειον εἶναι ὅμηρος ἔφησεν. εἰ δὴ ὁμήρου ταῦτα. ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι. διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι

πόνων διεξελθοῦσι, μόλις ἂν τῶν ἀγαθῶν ἐ-
κείνων τυχεῖν ἡμῖν περιγένοιτο. ὧν ἐν τοῖς ἄλλων
λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπί-
νων ἐλέγομεν. οὐ δὴ οὖν ῥαθυμητέον ἡμῖν.
οὐδὲ τῆς ἐν βραχεῖ ῥαστώνης μεγάλας ἐλπί-
δας ἀντικαταλλακτέον εἴπερ μὴ μέλλοιμεν. ὀνεί-
δη τε ἕξειν. καὶ τιμωρίας ὑφέξειν. οὔτι πα-
ρὰ τοῖς ἀνθρώποις ἐνθάδε. καίτοι καὶ τοῦτο οὐ μι-
κρὸν τῷ γε νοῦν ἔχοντι. ἀλλ᾽ ἐν τοῖς εἴθ᾽ ὑπὸ γῆν
εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει
δικαστηρίοις. ὡς τὸ μὲν ἀκουσίως τοῦ προσή-
κοντος ἁμαρτόντι. κἂν συγγνώμη τίς ἴσως
παρὰ τοῦ θεοῦ γένοιτο. τῷ δὲ ἐξεπίτηδες
τὰ χείρω προελομένῳ οὐδεμία παραίτη-
σις τοῦ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλα-
σιν ὑποσχεῖν. τί οὖν ποιῶμεν, φαίη τις ἄν.
τί ἄλλο γε. ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν
πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας. οὐ
δὴ οὖν τῷ σώματι δουλευτέον. ὅτι μὴ πᾶσα
ἀνάγκη. ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέ-
ον. ὥσπερ ἐκ δεσμωτηρίου τῆς πρὸς τὰ τοῦ
σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλο-

σοφίας λυομένας· ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας. οὐχὶ τὰ ἥδιστα ὥς οἵ γε φασωλοποιούς τιμῶσι καὶ μαγείρους ἐπιμοοῦντες καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλατταν· οἷον τινὶ χαλεπῇ δεσποίνῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων. οὐδὲν πάσχοντες ἀμωκότερον. ἀτεχνῶς εἰς πῦρ ξαίνοντες. καὶ κοσκίνῳ φέροντες ὕδωρ· καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον. οὐδὲν πέρας τῶν πόνων ἔχοντες. κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι· ἢ δυστυχοῦντός ἐστι, κατὰ τὸν Διογένους λόγον· ἢ ἀδικοῦντος· ὡς τῷ καλλωπιστὰς εἶναι, καὶ ὀνομάζεσθαι, ὁμοίως αἰσχρὸν κεῖσθαι φημὶ δὲ τοὺς τοιούτους ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. τί γὰρ ἂν διαφέροι τῷ γε νοῦν ἔχοντι ξυσίδα ἀναβεβλῆσθαι ἢ τί τῶν φαύλων ἱματίων φορεῖν. ἕως μηδὲν ἐνδέοι τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξιτήριον· καὶ τἄλλα δὲ τὸν αὐτὸν τρόπον μὴ περιττότερον τῆς χρεί

ας κατασκευάσασθαι. μὴ δὲ περιέπειν τὸ σῶ
μα πλέον, ἢ ὡς ἄμεινον τῇ ψυχῇ. οὐχ ἧττον
γὰρ ὄνειδος ἀνδρὶ τῷ γε ὡς ἀληθῶς τῆς προση
γορίας ταύτης ἀξίῳ καλλωπιστὴν ἢ φιλοσώμα
τον εἶναι. ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεν
νῶς διακεῖσθαι. τὸ γὰρ τὴν πᾶσαν σπουδὴν
εἰσφέρεσθαι ὅπως ὡς κάλλιστα, αὐτῷ τὸ
σῶμα ἕξει οὐκ ἐπιγινώσκοντός ἐστιν ἑαυτόν.
οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος.
ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος. ἀλλά τι
νος δεῖ περιττοτέρας σοφίας δι᾽ ἧς ἕκαστος
ἡμῶν ὅστις ποτ᾽ ἐστὶν ἑαυτὸν ἐπιγνώσεται.
τοῦτο δὲ μὴ κεκαθαρμένοις τὸν νοῦν, ἀδυνα
τώτερον ἢ λημῶντι, πρὸς τὸν ἥλιον ἀναβλέ
ψαι. κάθαρσις δὲ ψυχῆς ὡς ἀθρόως τε εἰπεῖν
ἱκανῶς ὑμῖν, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς
ἀτιμάζειν. μὴ ὀφθαλμοὺς ἑστιᾶν ταῖς ἀτόποις
τῶν θαυματοποιῶν ἐπιδείξεσιν. ἢ σωμά
των θέαις ἡδονῆς κέντρον ἐναφιέντων. μὴ διὰ
τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυ
χῶν καταχεῖν. ἀνελευθερίας γὰρ δὴ καὶ τα
πεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς

μουσικῆς ἐκείνης ἐπιμελεῖσθαι πέφυκεν. ἀλλὰ τὴν
ἑτέραν μεταδιωκτέον ἡμῖν τὴν ἀμείνω τε
καὶ εἰς ἄμεινον φέρουσαν· ᾗ καὶ δαυὶδ χρώμε
μενος ὁ ποιητὴς, τῶν ἱερῶν ᾀσμάτων ἐκ τῆς
μανίας, ὥς φασι τὸν βασιλέα καθίστη· λέ
γεται δὲ καὶ πυθαγόραν κωμασταῖς περιτυχόν
τα, μεθύουσι κελεῦσαι τὸν αὐλητὴν, τὸν τοῦ κώ
μου κατάρχοντα. μεταβαλόντα τὴν ἁρμο
νίαν, ἐπαυλῆσαι σφίσι τὸ δώριον· τοὺς
δὲ, οὕτως ὑπὸ τοῦ μέλους ἀναφρονῆσαι· ὥσ
τε τοὺς στεφάνους ῥίψαντας αἰσχυνομένους ἐ
πανελθεῖν· ἕτεροι δὲ πρὸς αὐλὸν, κορυβαντιῶ
σι, καὶ ἐκβακχεύονται. τοσοῦτόν ἐστι τὸ δια
φορον. ὑγιοῦς ἢ μοχθηροῦ μελῳδίας ἀνα
πλησθῆναι· ὥστε τῆς νῦν δὴ κρατούσης ταύ
της ἧττον ἡμῖν μεθεκτέον· ἢ καὶ ὁτινοσοῦν
τῶν αἰσχίστων. ἀτμούς γε μὴν παντοδαποὺς
ἡδονὴν ὀσφρήσει φέροντας, τῷ ἀέρι καταμι
γνύναι· ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι· καὶ
ἀπαγορεύειν αἰσχύνομαι· τί ἄν τις εἴποι περὶ
τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν
ἡδονὰς ἢ ὅτι καταναγκάζουσιν αὐτὰς τοὺς

περὶ τὴν αὐτῶν θήραν ἐσχολακότας. ὥσπερ τὰ θρέμματα πρὸς τὴν γαστέρα. καὶ τὰ ὑπ' αὐτὴν συννενευκότα ζῆν. ἐνὶ δὲ λόγῳ παντὸς ὑπεροπτέον τοῦ σώματος. τῷ γε μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι. ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ ὅσον φησὶ πλάτων ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους. ἐοικότα που λέγων τῷ παύλῳ. ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὅπως ἂν κάλλιστ' ἔχοι φροντίζουσι. τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶσι. τῶν περὶ μὲν τὰ ὄργανα σπουδαζόντων. τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης, καταμελούντων. πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ καὶ κατέχειν. ὥσπερ θηρίου τὰς ὁρμὰς προσήκει. καὶ τοὺς ὑπ' αὐτοῦ θορύβους, ἐγγινομένους τῇ ψυχῇ οἷον μάστιγι τῷ λογισμῷ καθικνουμένους, κοιμίζειν. ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν. ὥσπερ ἡνίοχον ὑπὸ δυσηνίων ἵππων, ὕβρει φερομένων παρασυρόμε-

νον ἀξιοῦσθαι. καὶ τοῦ πυθαγόρου μεμνῆσθαι
ὃς τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις
τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦν-
τα. οὗτος ἔφη οὐ παύσῃ χαλεπώτερον σεαυ-
τῷ, κατασκευάζων τὸ δεσμωτήριον. διὸ δὴ καὶ
πλάτωνά φασι τὴν ἐκ σώματος βλάβην
προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς ἀττικῆς
τὴν ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες· ἵνα
τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος. οἷον ἀμπέ-
λου τὴν εἰς τὰ περιττὰ φορὰν περικόπτοι. ἐ-
γὼ δὲ σφαλερὰν εἶναι καὶ τὴν ἐπ᾽ ἄκρον εὐεξίαν ἰ-
ατρῶν ἤκουσα. ὅτε τοίνυν ἡ ἄγαν αὐτοῦ τοῦ σώ-
ματος ἐπιμέλεια, αὐτῷ τε ἀλυσιτελὴς τῷ
σώματι. καὶ πρὸς τὴν ψυχὴν ἐστὶν ἐμπόδιον
τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν
μανία σαφής. ἀλλὰ μὴν εἰ τούτου γε ὑπερο-
ρᾶν μελετήσαιμεν. σχολῇ γ᾽ ἂν ἄλλο τι τῶν
ἀνθρωπίνων θαυμάσαιμεν. τί γὰρ ἔτι χρη-
σόμεθα πλούτῳ τὰς διὰ τοῦ σώματος ἡ-
δονὰς ἀτιμάζοντες. ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν
εἰ κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν
τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπα-

γεγυμνωμένον· ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦ-
τα διακεῖσθαι πεπαιδευμένος, φίλου ἂν
δέοιτο ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ πο-
τὲ προελέσθαι· τὸ γὰρ τῆς χρείας περιττότε-
ρον, κἂν λύδιον ψῆγμα, κἂν τὸ μυρμηκῶν ἔρ-
γον τῶν χρυσοφόρων, τοσοῦτον πλέον ἀτιμάσει
ὅσῳ περ ἂν ἧττον προσδέηται. αὐτὴν δὲ δή-
που τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις· ἀλ-
λ᾽ οὐ ταῖς ἡδοναῖς ὁρίζεται, ὡς οἵ γε τῶν ἀναγκαί-
ων ὅρων ἔξω γενόμενοι παραπλησίως τοῖς
κατὰ τοῦ κρημνοῦ φερομένοις, πρὸς οὐδὲν
στάσιμον ἔχοντες ἀτρεμῆσαι οὐδαμοῦ τῆς ἐς
τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ᾽ ὅσῳ περ ἂν πλεί-
ω προσπεριβάλωνται, τοσούτου δέονται, ἢ καὶ
πλείονος περὶ τὴν τῆς ἐπιθυμίας ἐκπλήρω-
σιν· κατὰ τὸν ἐξηκεστίδου σόλωνα· ὅς φησι,
πλούτου δ᾽ οὐδὲν τέρμα πεφασμένον ἀνδρά-
σι κεῖται· τῷ δὲ ξυνῳδὰ πρὸς ταῦτα διδα-
σκάλῳ χρυσέον λέγοντι· οὔτ᾽ ἔραμαι πλου-
τεῖν οὔτ᾽ εὔχομαι, ἀλλά μοι εἴη ζῆν, ἀπὸ τῶν
ὀλίγων μηδὲν ἔχοντι κακόν· ἐγὼ δὲ καὶ τοῦ
διογένους ἄγαμαι τὸ πάντων ὁμοῦ, τῶν

ἀνθρωπίνων ὑπεροψίαν. ὅς γε καὶ βασιλέως
τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε, πλουσιώτερον
τῶν ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσ-
θαι. ἡμῖν δὲ ἄρα εἰ μὴ τὰ πυθίου τοῦ μυ-
σοῦ προσείη τάλαντα καὶ πλέθρα γῆς τόσα
καὶ τόσα· καὶ βοσκημάτων ἐσμοὶ πλείους, ἢ ἀ-
ριθμῆσαι οὐδὲν ἐξαρκέσει, ἀλλ' οἶμαι προσή-
κει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον· καὶ πα-
ρόντος μὴ τῷ κεκτῆσθαι μέγα φρονεῖν ἢ τῷ
εἰδέναι αὐτὸν διατίθεσθαι. τὸ γὰρ τοῦ σωκρά-
τους εὖ ἔχει· ὃς μέγα φρονοῦντος ἀνδρὸς πλου-
σίου, ἐπὶ τοῖς χρήμασιν· οὐ πρότερον αὐτὸν ἔ-
φη θαυμάσειν, πρὶν ἂν καὶ ὅτι κωχρῆσθαι τού-
τοις ἐπίσταιτο, πειραθῆναι· ἢ φειδίας μὲν,
καὶ πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν
καὶ τῷ ἐλέφαντι. ὧν ὁ μὲν, ἠλείοις τὸν δία·
ὁ δὲ τὴν ἥραν ἀργείοις ἐποιησάτην· κα-
ταγελάστω ἂν ἤστην ἀλλοτρίῳ πλούτῳ καλ-
λωπιζόμενοι ἀφέντες τὴν τέχνην· ὑφ' ἧς
καὶ ὁ χρυσὸς ἡδίων· καὶ τιμιώτερος ἀπεδείχθη.
ἡμεῖς δὲ τὴν ἀνθρωπίνην ἀρετὴν, οὐκ ἐξαρκεῖν
ἑαυτῇ πρὸς κόσμον ὑπολαμβάνοντες· ἐλάτ-

τονος αἰσχύνης ἄξια ποιούμεθα· ἀλλὰ δὴ
τὰ πλούτου μὲν ὑπεροψόμεθα. καὶ τὰς διὰ
τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν. κολακεί-
ας δὲ καὶ θωπείας διωξόμεθα. καὶ τῆς ἀρχιλό-
χου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζη-
λώσομεν. ἀλλ᾽ οὐκ ἔστιν ὅ μᾶλλον φευκτέον τῷ
σωφρονοῦντι τοῦ πρὸς δόξαν ζῆν. καὶ τὰ τοῖς
πολλοῖς δοκοῦντα περισκοπεῖν. καὶ μὴ τὸν ὀρ-
θὸν λόγον, ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. ὥστε κἂν
πᾶσιν ἀνθρώποις ἀντιλέγειν δέῃ μηδὲν αἱρεῖσθαι
τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν κἂν ἀδο-
ξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ. ἢ τὸν μὴ
οὕτως ἔχοντα, τί τοῦ αἰγυπτίου σοφιστοῦ, φήσο-
μεν ἀπολείπειν. ὃς φυτὸν ἐγίγνετο. καὶ θηρίον ὁπό-
τε βούλοιτο. καὶ πῦρ. καὶ ὕδωρ. καὶ πάντα χρήμα-
τα. εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέ-
σεται παρὰ τοῖς τοῦτο τιμῶσι· νῦν δὲ τοὺς ἐναντί-
ους ἀφήσει λόγους. ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦ-
σαν αἴσθηται· ὅπερ δίκη ἐστὶ κολάκων· καὶ ὥς-
περ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν
ὑποκειμένην γῆν, οὕτως αὐτὸς τὴν διάνοιαν
πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖ

ται· ἀλλὰ ταῦτα μὲν οὖν καὶ τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς· τό γε νῦν εἶναι ἐκ τῶν ἔξωθεν παιδευμάτων, ὑπογραψώμεθα· τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν· ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν, αἱ προσθῆκαι πεφύκασι· τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι· οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην· ἢ καὶ εἰς ἡντινοῦν ἐπιστήμην, ὀρθῶς ἔχειν ἡγεῖσθαι τῷ ποιητῇ προσῆκεν· ὁ μὲν οὖν βίας τῷ υἱεῖ πρὸς αἰγυπτίους ἀπαίροντι πυνθανομένῳ τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι ἐφόδιον ἔφη πρὸς γῆρας κτησάμενος· τὴν ἀρετὴν δηλαδή, ἐφόδιον λέγων· μικροῖς ὅροις αὐτὴν περιγράφων· ὅς γε τὴν ἀπ' αὐτῆς ὠφέλειαν ἀνθρωπίνῳ βίῳ ὡρίζετο· ἐγὼ δὲ κἂν τὸ τιθωνοῦ τις γῆρας· κἂν τὸ μακροβιώτατον, παρ' ἡμῖν μαθουσάλα· ὃς χίλια ἔτη τριάκοντα δέοντα βιῶναι λέγεται· κἂν σύμπαντα τὸν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ ὡς ἐπὶ παίδων διανοίας γελάσομαι εἰς τὸν

μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα· οὗ πέ-
ρας οὐδέν ἐστι τῇ ἐπινοίᾳ λαβεῖν· οὐ μᾶλλόν γε
ἢ τῷ λόγῳ τὴν ὑπερθέσθαι τῆς ἀθανάτου ψυχῆς.
πρὸς ὅν γε κεκλῆσθαι παραινέσαιμ᾽ ἄν, τὰ ἐφό-
δια πάντα λίθον, κατὰ τὴν παροιμίαν κινοῦν-
τας· ὅθεν ἂν ἐπ᾽ αὐτὸν ἡμῖν ὠφέλειά τις μέλλοι
γενέσθαι· μὴ οὖν ὅτι χαλεπὰ ταῦτα καὶ πό-
νου δεόμενα· διὰ τοῦτ᾽ ἀποκνήσωμεν ἀλ-
λ᾽ ἀναμνησθέντες τοῦ παραινέσαντος· ὅτι δέοι βί-
ον μὲν ἄριστον αὐτὸν ἕκαστον, προαιρεῖσθαι· ἡ-
δὺν δὲ προσδοκᾶν, τῇ συνηθείᾳ γενήσεσθαι.
ἐγχειρεῖν δὲ τοῖς βελτίστοις. αἰσχρὸν γὰρ τὸν παρόντα
καιρὸν προεμένους ὕστερόν ποτ᾽ ἀνακαλεῖσθαι
τὸ παρελθόν· ὅτ᾽ οὐδὲν ἔσται πλέον ἀνιωμένοις.
ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν
νῦν εἴρηκα· τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμ-
βουλεύσω· ὑμεῖς δὲ τριῶν ἀρρωστημάτων, μὴ
τῷ ἀνιάτῳ προσεοικέναι δόξητε· μηδὲ τὴν
τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ
σώματα δυστυχησάντων, δεῖξαί τε· οἱ μὲν γὰρ
τὰ σμικρὰ τῶν παθῶν κάμνοντες αὐτοὶ
παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μει-

ζόντων καταληφθέντων ἀρρωστήματι ἐφ' ἑαυτοὺς
καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δ' εἰς ἀνή-
κεστον παντελῶς μελαγχολίας παρενεχ-
θέντων, οὐδὲ προσιόντας προσίενται. ὃ μὴ πά-
θοιτε νῦν ὑμεῖς τοὺς ὀρθῶς ἔχοντας τῶν λογισ-
μῶν ἀποφεύγοντες.

# ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩ ΝΕΩΣ ΠΕΡΙ ΠΑΙ ΔΩΝ ΑΓΩΓΗΣ.

ί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν
ἐλευθέρων παίδων ἀγωγῆς. καὶ τί-
νι χρώμενοι σπουδαῖοι ἂν τοὺς τρόπους
ἀποβαῖεν, φέρε σκεψώμεθα. βέλ-
τιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶ-
τον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων
γενέσθαι πατράσιν, ὑποθοίμην ἂν ἔγωγε, μὴ
ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν. λέγω δὲ οἷ-
ον, ἑταίραις, ἢ παλλακαῖς. τοῖς γὰρ μητρόθεν ἢ πα

φύσιν. ἀδόξοις γεγονόσιν ἀνεξάλειπτα παρακο
λουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα
τὸν βίον. καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι
βουλομένοις. καὶ σοφὸς ἄρα ἦν ὁ ποιητὴς ὅς φη
σιν, ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους. καλὸς
οὖν παρρησίας θησαυρὸς, εὐγένεια. ἧς δὴ πλεῖ
στον λόγον ποιητέον, τοῖς νομίμου παιδοποιίας
γλιχομένοις. καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν
ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, ὡς
τὰ πολλὰ καὶ ταπεινοῦσθαι πέφυκε. καὶ μάλ
λα ὀρθῶς ὁ λέγων ποιητής φησι, δουλοῖ γὰρ ἄν
δρα κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν συνειδῇ
μητρὸς ἢ πατρὸς κακά. ὥσπερ ἀμέλει τοὐναν
τίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγ
ματος οἱ γονέων διασήμων. Διόφαντον γοῦν
τὸν θεμιστοκλέους, πολλάκις λέγουσι φάναι καὶ
πρὸς πολλούς, ὡς ἃ ἂν αὐτὸς βούληται, ταῦ
τα τῷ δήμῳ συνδοκεῖ τῷ τῶν ἀθηναίων. ἃ μὲν
γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ. ἃ δ' ἂν ἡ μήτηρ καὶ
θεμιστοκλῆς. ἃ δ' ἂν θεμιστοκλῆς, καὶ πάντες
ἀθηναῖοι. πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ λακεδαι

μονίους τῆς μεγαλοφροσύνης, οἵτινες ἀρχίδα-
μον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμα-
σιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα, γαμῶ
λαβεῖν ὑπέμεινεν· ὑπειπόντων ὡς οὐ βασι-
λέας ἀλλὰ βασιλίδας παρασχεῖν αὐτοῖς δια-
νοοῖτο· ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὅπερ
οὐδὲ τῶν πρὸ ἡμῶν παρεώραται. τὸ ποῖον; ὅτι τοὺς
ἕνεκα παιδοποιίας πλησιάζοντας ταῖς γυναι-
ξὶν, ἤτοι παράπαν ἀοίνους ἢ μετρίως γοῦν οἰνω-
μένους ποιεῖσθαι προσήκει τὴν συνουσιασμόν·
φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν
ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες, ἐν μέ-
θῃ ποιησάμενοι τύχωσιν. ἧ καὶ διογένης μει-
ράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν· νεα-
νίσκε ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε.
καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω
μοι· περὶ δὲ τῆς ἀγωγῆς, καὶ δὴ λεκτέον. κα-
θόλου μὲν οὖν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν
ἐπιστημῶν λέγειν εἰώθαμεν ταὐτὸ καὶ κατὰ τῆς
ἀρετῆς φατέον ἐστίν. ὡς εἰς τὴν παντελῆ δικαιο-
πραγίαν, τρία δεῖ συνδραμεῖν. φύσιν, καὶ λόγον
καὶ ἔθος. καλῶ δὲ λόγον μὲν τὴν μάθησιν· ἔθος

δὲ, τὴν ἄσκησιν. εἰσὶ δ' αἱ μὲν ἀρχαὶ τῆς μαθήσε
ως. αἱ δὲ χρήσεις, τῆς μελέτης. αἱ δ' ἀκρότητες
πάντων. καθὸ δ' ἂν λειφθῇ τούτων τί, κατὰ τοῦ
τ' ἀνάγκη χωλὴν γίγνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ
φύσις ἄνευ μαθήσεως τυφλόν. ἡ δὲ μάθησις
δίχα φύσεως ἐλλιπές. ἡ δὲ ἄσκησις χωρὶς
ἀμφοῖν ἀτελές. ὥσπερ δὲ τῆς γεωργίας πρῶ
τον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν. εἶτα δὲ
φυτουργὸν ἐπιστήμονα. εἶτα σπέρματα
σπουδαῖα. τὸν αὐτὸν τρόπον γῆ μὲν ἔοικεν ἡ
φύσις. γεωργῷ δὲ ὁ παιδεύων. σπέρματι δὲ
αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα.
ταῦτα πάντα διατεινάμενος εἴποιμι ὅτι συ
νῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρὰ πᾶσιν
ᾀδομένων ψυχὰς. πυθαγόρου. καὶ σωκράτους. καὶ
πλάτωνος. καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυ
χήκασιν. εὐδαίμων μὲν οὖν καὶ θεοφιλὴς εἴ τῳ
ταῦτα πάντα θεῶν τις ἀπέδωκεν. εἰ δέ τις
οἴεται τοὺς οὐκ εὖ πεφυκότας μαθήσεως καὶ
μελέτης, τυχόντας ὀρθῆς πρὸς ἀρετήν. οὐκ ἂν
πρὸς τῆς φύσεως ἐλάττωσιν εἰς τὸ οὖν δεχόμενον
ἀναδραμεῖν, ἴστω πολλοῦ μᾶλλον δὲ τοῦ παν

τὸς διαμαρτάνωμ. φύσεως μὲμ γὰρ ἀρετὴμ
διαφθείρει ῥαθυμία. φαυλότητα δὲ ἐπαν-
ορθοῖ διδαχή. καὶ τὰ μὲμ ῥάδια τοὺς ἀμελοῦν-
τας φεύγει. τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁ-
λίσκεται. καταμάθοις δ᾽ ἂμ ὡς ἀνύσιμομ πρᾶγ-
μα καὶ τελεσιουργὸμ ἐπιμέλεια καὶ πόνος ἐστὶν
ἐπὶ πολλὰ τῶν γινομένωμ ἐπιβλέψας. σταγό-
νες μὲμ γὰρ ὕδατος πέτρας κοιλαίνουσι. σίδηρος
δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβον-
ται. οἱ δ᾽ ἁρματήλατοι τροχοὶ πόνῳ καμφθέντες. οὐ
δ᾽ ἂμ εἴ τοι γένοιτο τὴν ἐξ ἀρχῆς δύναιντο ἀναλα-
βεῖμ εὐθυωρίαμ. τὰς γὰρ καμπύλας τῶμ
ὑποκριτῶν βακτηρίας ἀπευθύνειμ ἀμήχανομ.
ἀλλὰ τὸ παρὰ φύσιμ τοῦ πόνου τοῦ κατὰ φύσιμ
ἐγένετο κρεῖττομ. καὶ μόνα ἄρα ταῦτα τῆς ἐπι-
μελείας ἰσχὺμ διαδεικνύουσιμ. οὐκ. ἀλλὰ καὶ
μυρία ἐπὶ μυρίοις. ἀγαθὴ γῆ πέφυκεμ. ἀλλ᾽ ἀ-
μεληθεῖσα χερσεύεται. καὶ ὅσω τῇ φύσει βελτί-
ωμ ἐστὶ τοσούτω μᾶλλομ ἐξαργηθεῖσα δι᾽ ἀ-
μέλειαμ ἐξαπόλλυται. ἔστι τίς ἀπόκροτος
καὶ τραχυτέρα τοῦ δέοντος. ἀλλὰ γεωργηθεῖσα πα-
ραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. ποῖα δὲν

δρα οὐκ ὀλιγωρηθέντα μέν, στρεβλὰ φύεται καὶ ἄκαρπα καθίσταται· τυχόντα δὲ ὀρθῆς ἐπιμελείας ἔγκαρπα γίνονται καὶ τελεσφόρα. ποῖα δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει, δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν· τίς δ' ἀσθενὴς φύσις, οὐ τοῖς γυμνασαμένοις καὶ καταθλήσασα πλεῖστον, εἰς ἰσχὺν ἐπέδωκε· τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες, οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις· τίνες δὲ ἀδάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν. καὶ τί δεῖ τἆλλα θαυμάζειν· ὅπου γε τῶν θηρίων τὰ ἀγριώτατα ὁρῶμεν πολλὰ καὶ τιθασευόμενα· καὶ χειροήθη γινόμενα τοῖς πόνοις· εὖ δὲ καὶ ὁ θετταλὸς ἐρωτηθείς, τίνες εἰσὶν οἱ ἠπιώτατοι θετταλῶν, ἔφη· οἱ παυόμενοι πολεμεῖν· καὶ τί δεῖ τὰ πολλὰ λέγειν· καὶ γὰρ τὸ ἦθός ἐστι πολυχρόνιον· καὶ τὰς ἠθικὰς ἀρετὰς ἐοικυίας ἄν τις λέγοι· οὐκ ἄν τι πλημμελεῖν δόξειεν. ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν λακεδαιμονίων νομοθέτης δύο σκύλακας τῶν αὐτῶν γονέων

λαβὼν οὐδὲμ ὁμοίως ἀλλήλοις ἤγαγεμ. ἀλλὰ τὸν
μὲμ, λίχνομ ἀπέφηνε καὶ σιναμωρομ· τὸμ δὲ
ἐξιχνεύειμ καὶ θηρᾶμ δυνατόν. ἔπειτα δὲ τῶν λα
κεδαιμονίωμ εἰς ταὐτὸ συνειλεγμένωμ, μεγάλ
αι τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσιμ εἰσίμ ἄνδρες ἔ
φησε λακεδαιμόνιοι καὶ ἔθη· καὶ παιδεῖαι· καὶ δι
δασκαλίαι· καὶ βίων ἀγωγαί· καὶ ἐγὼ ταῦτα ὑ
μῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά· ἔπειτα
προσαγαγὼν τοὺς σκύλακας διαφῆκε. καταθεὶς
εἰς μέσον λοπάδα καὶ λαγωὸν κατ' εὐθὺ τῶν
σκυλάκωμ. καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ᾖξεν.
ὁ δὲ ἐπὶ τὴν λοπάδα ὥρμησε· τῶν δὲ λα
κεδαιμονίωμ οὐδέπω συμβαλεῖν ἐχόντωμ
τί ποτε αὐτῷ τοῦτο δύναται· καὶ τί βου
λόμενος τοὺς σκύλακας ἐπεδείκνυεν· οὗτοι γέ
νεων ἔφη τοῦ αὐτοῦ ἀμφότεροι. διαφόρου δὲ τυ
χόντες ἀγωγῆς, ὁ μὲν λίχνος. ὁ δὲ θηρατὴς ἀπο
βέβηκε· καὶ περὶ μὲν ἐθῶν καὶ βίων ἀρκείτω ταῦ
τα. περὶ δὲ τροφῆς ἐχόμενον ἂν εἴη λέγειν. δεῖ
δὲ ὡς ἔγωγ' ἂν φαίην αὐτὰς τὰς μητέρας τὰ τέ
κνα τρέφειν· καὶ τούτοις τοὺς μαστοὺς ὑπέχειν·
συμπαθέστερόν τε γὰρ θρέψουσι καὶ διὰ πλεί

ονος ἐπιμελείας· ὥσαν ἔνδοθεν καὶ τὸ δὴ λεγό
μενον ἐξ ὀνύχων ἀγαπῶσαι τὰ τέκνα· αἱ τίτ-
θαι δὲ καὶ αἱ τροφοὶ, τὴν εὔνοιαν ὑποβολιμαίαν
καὶ παρέγγραπτον ἔχουσιν ἅτε μισθοῦ φιλοῦ
σαι· δηλοῖ δὲ καὶ ἡ φύσις ὅτι δεῖ τὰς μητέρας
ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν καὶ τρέφειν·
διὰ γὰρ τοῦτο, παντὶ ζώῳ τεκόντι τὴν ἐκ τοῦ γά
λακτος τροφὴν ἐχορήγησε. σοφὸν δὲ καὶ ἡ πρό
νοια· διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστοὺς
ἵνα καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς
τῆς τροφῆς πηγάς· χωρὶς δὲ τούτων, εὐνούστεραι
τοῖς τέκνοις γένοιντ' ἂν, καὶ φιλητικώτεραι· καὶ μὰ
Δία οὐκ ἀπεικότως. ἡ συντροφία γὰρ, ὥσπερ ἐ-
πιτόνιόν ἐστι τῆς εὐνοίας. καὶ γὰρ τὰ θηρία τῶν
συντρεφομένων ἀποσπώμενα, ταῦτα ποθοῦν
τα φαίνεται. μάλιστα μὲν οὖν ὥσπερ ἔφην,
αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας·
εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθέ
νειαν, γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον, ἢ πρὸς ἑτέ
ρων τέκνων σπεύδουσαι γένεσιν· ἀλλὰ τάς γε τίτ
θας καὶ τροφοὺς, οὐ τὰς τυχούσας· ἀλλ' ὡς ἔνι μά
λιστα σπουδαίας δοκιμαστέον ἐστί. πρῶτον μὲν

τοῖς ἤθεσιν ἑλληνίδας. ὥσπερ γὰρ τὰ μέλη τοῦ
σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειμ τῶν τέ-
κνωμ ἀναγκαῖομ ἐστὶμ, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστρα-
βῆ φύηται. τὸν αὐτὸν τρόπομ ἐξαρχῆς τὰ τῶμ τέ-
κνωμ ἤθη ῥυθμίζειμ προσήκει. εὔπλαστομ γὰρ καὶ
ὑγρὸμ ἡ νεότης. καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς
ἔτι τὰ μαθήματα ἐντήκεται. πᾶμ δὲ τὸ
σκληρὸμ χαλεπῶς μαλάττεται. καθάπερ γὰρ
σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κη-
ροῖς. οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παιδίων
ψυχαῖς, ἐναποτυποῦνται. καί μοι δοκεῖ πλάτων
ὁ δαιμόνιος ἐμμελῶς παραινεῖμ, τὰς τίτθας
μὴ δὲ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέ-
γειμ. ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς ἀνοί-
ας καὶ διαφθορὰς ἀναπίμπλασθαι συμβαί-
νῃ. κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς
παραινεῖν λέγωμ. χρὴ παῖδ᾽ ἔτ᾽ ἐόντα καλὰ δι-
δάσκειμ ἔργα. οὐ τοίνυμ οὐ δὲ τοῦτο παραλιπεῖν
ἄξιομ ἐστὶν ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς
τροφίμοις ὑπηρετεῖμ, καὶ τούτοις σύντροφα γίνε-
σθαι, ζητητέομ πρώτιστα, μὲμ, σπουδαῖα τοὺς
τρόπους. ἔτι μέντοι ἑλληνικὰ, καὶ περίτρανα.

λαλῶμεν· ἵνα μὴ συναναχρωννύμενοι βαρβάροις
καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρωνταί τι τῆς ἐ-
κείνων φαυλότητος· καὶ οἱ παροιμιαζόμενοι δὲ
φασὶν οὐκ ἀπὸ τρόπου λέγοντες ὅτι ἂν χωλῷ πα-
ροικήσῃς, ὑποσκάζειν μαθήσῃ. ἐπειδὰν τοίνυν
ἡλικίαν λάβωσιν ὑπὸ παιδαγωγοῖς τετάχθαι,
ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἐκτέον ἐστὶ τῆς
τούτων καταστάσεως ὡς μὴ λάθωσιν ἀνδρα-
πόδοις ἢ βαρβάροις ἢ παλιμβόλοις τὰ τέκνα
παραδόντες. ἐπεὶ νῦν γε τὸ γιγνόμενον πολλοῖς
ὑπερκαταγέλαστόν ἐστι· τῶν γὰρ δούλων τῶν σπου-
δαίων, τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι· τοὺς
δὲ ναυκλήρους· τοὺς δὲ ἐμπόρους· τοὺς δὲ οἰ-
κονόμους· τοὺς δὲ δανειστάς. ὅτι δ' ἂν εὕρωσιν ἀν-
δράποδον οἰνόληπτον καὶ λίχνον, πρὸς πᾶ-
σαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες
ὑποβάλλουσι τοὺς υἱούς· δεῖ δὲ τὸν σπουδαῖον
παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν οἷός περ
ἦν ὁ φοῖνιξ, ὁ τοῦ ἀχιλλέως παιδαγωγός. τὸ δὲ
πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων
ἔρχομαι φράσων· διδασκάλους γὰρ ζητητέον τοῖς
τέκνοις οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι· καὶ τοῖς τρό-

ποις ἀνεπίληπτοι· καὶ ταῖς ἐμπειρίαις ἄριστοι·
πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας τὸ νομίμου τυ
χεῖν παιδείας· καὶ καθάπερ τοὺς χάρακας τοῖς
φυτοῖς οἱ γεωργοὶ παρατιθέασιν οὕτως οἱ νόμι
μοι τῶν διδασκάλων ἐμμελεῖς τὰς ὑποθήκας
καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ὀρθὰ
τούτων βλαστάνειν τὰ ἤθη. νῦν δέ τις καὶ καταπτύ
σειε τῶν πατέρων ἐνίων. οἵτινες πρὶν δοκιμάσαι
τοὺς μέλλοντας διδάσκειν δι' ἄγνοιαν ἔσθ' ὅ
τε καὶ ἀπειρίαν ἀνθρώποις ἀδοκίμοις καὶ παρα
σήμοις ἐγχειρίζουσι τοὺς παῖδας· καὶ οὔπω τοῦ
τό ἐστι καταγέλαστον, εἰ δι' ἀπειρίαν αὐτὸ πράττου
σιν· ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον· τὸ ποῖον, ἐ
νίοτε γὰρ εἰδότες τῶν αἰσθομένων μᾶλλον αὐτῶν,
ἑτέρων λεγόντων, τὴν ἐνίων τῶν παιδευτῶν ἀπει
ρίαν ἅμα καὶ μοχθηρίαν· ὅμως τούτοις ἐπιτρέ
πουσι τοὺς παῖδας· οἱ μὲν, ταῖς τῶν ἀρεσκο
μένων ἡττώμενοι κολακείαις· εἰσὶ δὲ, οἱ δεο
μένοις χαριζόμενοι φίλοις· παρόμοιον ποιοῦν
τες ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων τὸν σὺν
ἐπιστήμῃ δυνηθέντα σῶσαι παραλιπὼν, φί
λῳ χαριζόμενος, τὸν δι' ἀπειρίαν ἀπολέσοντα

ἂν αὐτὸν προέλοιτο. ἢ ναύκληρον τὸν ἄριστον ἀ
φεὶς τὸν ἀδόκιμον ἕληται φίλου δεηθέντος. ζεῦ
καὶ θεοὶ πάντες. πατήρ τίς καλούμενος, πλείω
λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος, ἢ τῆς
τῶν τέκνων παιδεύσεως. εἰ τοὐκεικότα πολλά
κις ὁ κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν. ὅτι εἴπερ
ἄρα δυνατὸν ἦν ἀναβάντα ἐπὶ τὸ μετεωρότα
τον τῆς πόλεως μέρος ἀνακραγεῖν ὦ ἄνθρω
ποι. ποῖ φέρεσθε. οἵτινες χρημάτων μὲν κτή
σεως πέρι πᾶσαν ποιεῖσθε σπουδήν. τῶν δ' υἱ
έων οἷς ταῦτα καταλείψετε μικρὰ φροντί
ζετε; τούτοις δ' ἂν ἔγωγε προσθείην, ὅτι οἱ
τοιοῦτοι πατέρες, παραπλήσιον ποιοῦσιν οἷον
εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ πο
δὸς ὀλιγώρως ἔχοι. πολλοὶ δὲ εἰς τοσοῦτον τῶν
πατέρων προβαίνουσι φιλαργυρίας ἅμα καὶ μι
σοτεκνίας, ὥσθ' ἵνα μὴ πλείονα μισθὸν τελέ
σωσιν, ἀνθρώπους τοῦ μηδενὸς ἀξίους, αἱροῦνται
τοῖς τέκνοις εὔωνον ἀμαθίαν διώκοντες. ἧ καὶ
ἀρίστιππος οὐκ ἀκόμψως ἀλλὰ καὶ πάνυ ἀστεί
ως ἐπέσκωψε τῷ λόγῳ, πατέρα νοῦ καὶ φρε
νῶν κενόν. ἐρωτήσαντος γάρ τινος αὐτόν, πόσον

αὐτοῖς μισθὸν, ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως.
χιλίας ἔφησε δραχμάς. τοῦ δὲ ἡρακλῆς εἰπόντος
ὡς ὑπέρπολυ τὸ αἴτημα. δύναμαι γὰρ ἀνδρά
ποδομ χιλίωμ πρίασθαι. τοιγαροῦμ εἶπε, δύο
ἕξεις ἀνδράποδα. καὶ τὸμ υἱὸμ καὶ ὃμ ἂμ πρίῃ. τὸ
δ᾽ ὅλομ πῶς οὐκ ἄτοπομ τῇ μὲμ δεξιᾷ συνεθί
ζειμ τὰ παιδία δέχεσθαι τὰς τροφάς. κἂμ προ
τείνωσι τὴν ἀριστερὰμ ἐπιτιμᾶμ μηδὲ μίαμ
δὲ ποιεῖσθαι πρόνοιαμ τοῦ λόγωμ ἐπιδεξίωμ
καὶ νομίμων ἀκούειν. τί οὖν συμβαίνει τοῖς θαυ
μαστοῖς πατράσιν ἐπειδὰν κακῶς μὲν θρέ-
ψωσι κακῶς δὲ παιδεύσωσι τοὺς υἱεῖς, ἐγὼ
φράσω. ὅταμ γὰρ εἰς ἄνδρας ἐγγραφέντες, τοῦ μὲμ
ὑγιαίνοντος καὶ τεταγμένου βίου, καταμελή-
σωσιμ. ἐπὶ δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώ
δεις ἡδονὰς ἑαυτοὺς κρημνίσωσι, τότε δὴ
μεταμέλονται τῆς τῶν τέκνωμ παιδείας ὅτε οὐ
δὲμ ὄφελος τοῖς ἐκείνωμ ἀδικήμασιμ ἀδημο
νοῦντες. οἱ μὲμ γὰρ αὐτῶν, κόλακας καὶ παρασί
τους ἀναλαμβάνουσιμ ἀνθρώπους ἀσήμους
καὶ καταράτους. καὶ τῆς νεότητος ἀναστροφέας. καὶ
λυμεῶνας. οἱ δὲ τινὲς ἑταίρας. καὶ χαμαιτύπας

λυτροῦνται σοβαρὰς καὶ πολυτελεῖς. οἱ δὲ κα
πνοφαγοῦσιν. οἱ δὲ εἰς κύβους καὶ κώμους ἐ
ξοκέλλουσιν. ἤδη δέ τινες καὶ τῶν νεανικωτέ
ρων ἅπτονται κακῶν. μοιχεύοντες. καὶ κισσοφο
ροῦντες, καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι.
φιλοσόφῳ δὲ ὁμιλήσαντες οὗτοι, ἐν τοῖς ἴσοις
πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέσ
χοντο. καὶ τό γε παράγγελμα τοῦ Διογένους ἔ
μαθον ἄν. ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀ
ληθῶς δὲ τοῖς πράγμασι παραινεῖ. καί φησιν
εἰσελθὲ εἰς τὸ πορνεῖόν που. ἵνα μάθῃς ὅτι τῶν ἀ
ναξίων τὰ τίμια οὐδὲν διαφέρει. συνελὼν τοί
νυν ἐγώ φημι. καὶ χρησμολογεῖν μᾶλλον, ἢ πα
ραινεῖν δόξαιμ' ἂν εἰκότως. ὅτι ἓν πρῶτον καὶ μέ
σον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον, ἀγωγὴ
σπουδαία. καὶ παιδεία νόμιμος ἐστί. καὶ ταῦτα
φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμο
νίαν φημί. καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώ
πινα καὶ μικρὰ καὶ οὐκ ἀξιοσπούδαστα καθέστη
κεν. εὐγένεια μὲν καλὸν ἀλλὰ προγόνων ἀ
γαθόν. πλοῦτος δὲ τίμιον μὲν ἀλλὰ τύχης κτῆ
μα. ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφεῖλε

το τοῖς δ' οὐκ ἐλπίσασι φέρουσα προσήνεγκε. καὶ ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλάντια τοξεύειν κακούργοις οἰκέταις καὶ συκοφάνταις· καὶ τὸ μέγιστον ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. δόξα γε μὴν σεμνὸν ἀλλ' ἀβέβαιον. κάλλος δὲ περιμάχητον μὲν ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ τίμιον μὲν ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ ζηλωτὸν μὲν ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. τὸ δὲ ὅλον εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ μαθέτω γνώμης διαμαρτάνων. πόσον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως λέγω δὲ οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων. παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει νοῦς καὶ λόγος. καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου. ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ τύχῃ μὲν ἀνάλωτος συκοφαντίᾳ δὲ ἀναφαίρετος. νόσῳ δ' ἀδιάφθορος. γήρᾳ δ' ἀλύμαντος· μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. καὶ ὁ χρόνος τὰ ἄλλα πάντα ἀφαιρῶν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὅ γε μὴν πόλεμος χειμάρρου δίκην πάν

τα σύρων· καὶ πάντα φέρων, μόνην οὐ δύναται
παιδείαν παρελέσθαι. καί μοι δοκεῖ στίλπων
ὁ μεγαρεὺς φιλόσοφος ἀξιομνημόνευτον ποι-
ῆσαι ἀπόκρισιν ὅτε δημήτριος ἐξανδραπο-
δισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλεν·
ὁ δὲ τὸν στίλπωνα ἤρετο μή τι ἀπολωλεκὼς εἴη·
καὶ ὃς οὐ δῆτα εἶπε· πόλεμος γὰρ οὐ λαφυραγω-
γεῖ ἀρετήν. σύμφωνος δὲ καὶ συνῳδὸς ἡ σω-
κράτους ἀπόκρισις ταύτῃ φαίνεται. καὶ γὰρ
οὗτος ἐρωτήσαντος αὐτόν μοι δοκεῖ γοργίου
ἣν ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν·
ἢ καὶ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα
ἔφησε πῶς ἀρετῆς καὶ παιδείας ἔχοι· ὡς
τὴν εὐδαιμονίαν ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς
ἀγαθοῖς κειμένην. ὥσπερ δὲ παραινῶ τῆς παι-
δείας τῶν τέκνων μηδὲν ποιεῖσθαι προὐργι-
αίτερον, οὕτως αὖ πάλιν φημὶ δεῖν τῆς ἀ-
διαφθόρου καὶ τῆς ὑγιαινούσης ἔχεσθαι. τῶν δὲ
πανηγυρικῶν λήρων ὡς πορρωτάτω τοὺς υἱ-
εῖς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν τοῖς
σοφοῖς ἐστὶν ἀπαρέσκειν. μαρτυρεῖ δέ μου τῷ
λόγῳ καὶ εὐριπίδης λέγων· ἐγὼ δ' ἄκομψος εἰς

ὄχλον δοῦναι λόγον. ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος. οἱ δ᾽ ἐν σοφοῖς φαῦλοι, παρ᾽ ὄχλῳ μουσικώτεροι λέγειν. ὁρῶ δ᾽ ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. καὶ νὴ Δί᾽, εἰκότως. εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες, ἀμελοῦσι τοῦ καλοῦ, σχολῇ γ᾽ ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω, τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο. ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. πρὸς δὲ τούτοις τί ἄν, τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν. ἢ τίσιν ἀγαθοῖς ἐμφύεσθαι παραινέσωμεν. καλὸν γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν μήτε πράττειν μηδέν. καὶ κατὰ τὴν παροιμίαν χαλεπὰ τὰ καλά. οἱ δ᾽ αὐτοσχέδιοι τῶν λόγων πολλῆς εὐχερείας καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις οὔθ᾽ ὅθεν ἀρκτέον οὔθ᾽ ὅποι παυστέον ἐστὶν εἰδότων. χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων οἱ ἂν ἐκ τοῦ παραχρῆμα λέγωσιν εἰς ἀμετρίαν δεινὴν καὶ πολυλογίαν ἐκπίπτουσι.

σκέψιν δ' οὐκ ἐᾷ τῆς ἱκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ περικλῆς ὡς ἡμῖν ἀκούειν παραδέδοται. καλούμενος ὑπὸ τοῦ δήμου πολλάκις οὐχ ὑπήκουσε, λέγων ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν ἀθηναίων σύμβουλον, ἀντέβαινεν. οὐ συντέταγμαι λέγων. καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστιν ἡ πεπλασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ μειδίου, τὸ τῆς σκέψεως ὄφελος ἐναργῶς παρίστησι. φησὶ γοῦν. ἐγὼ δ' ἐσκέφθαι μέν, ὦ ἀθηναῖοι, φημί. οὐκ ἂν ἀρνηθείην καταμεμελετηκέναι γε ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτου ἐρεῖν ἔμελλον. τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὸ ἑτοιμότητα. καὶ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, εὖ φαίην ἂν ἔγωγε. ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τό το περιττέον ἐστί. μέχρι δὴ τῆς τῶν ἀνδρῶν ἡλικίας οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν. ἀλ-

λόταμ τις ῥιζώσῃ τὴν δύναμιν, τότε τούτων καιρῶν καλούντων ἐλευθεριάζειν τοῖς λόγοις προσῆκεν. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες, κἂν λυθῶσιν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας, οὐ δυνάμενοι βαδίζειν, ὑποσκελίζονται, τὸν αὐτὸν τρόπον οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν μετά ποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάττουσι. τὸ δὲ ἔτι παῖδας ὄντας, ἐὰν ἐπὶ καιροῦ λέγειν, ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. ζωγράφος φασὶν ἄθλιος, ἀπελλῇ δείξας εἰκόνα, ταύτην ἔφη νῦν γέγραφα. ὁ δὲ, καὶ ἢν μὴ λέγῃς ἔφη, ἐγὼ οἶδα ὅτι ταχὺ γέγραπται. θαυμάζω δὲ πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. ὥσπερ τοίνυν ἐπαναγαγὼν γὰρ ἐπὶ τὴν ἐξ ἀρχῆς τὸν λόγον πρόθεσιν, τὴν θεατρικὴν καὶ παρατραγῳδοῦν. οὕτως αὖ πάλιν καὶ τὴν μικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν. ἡ μὲν γὰρ ὑπέρογκος, ἀπολίτευτός ἐστιν. ἡ δὲ ἰσχνὴ

λίαν ἀνέκπληκτος· καθάπερ δὲ τὸ σῶμα
οὐ μόνον ὑγιεινὸμ. ἀλλὰ καὶ εὐεκτικὸμ εἶναι χρὴ
καὶ τὸμ λόγον ὡσαύτως. οὐκ ἄνοσομ μόνον, ἀλ-
λὰ καὶ εὔρωστομ εἶναι δεῖ· τὸ μὲν γὰρ ἀσφα-
λὲς, ἐπαινεῖται μόνον· τὸ δὲ ἐπικίνδυνον καὶ
θαυμάζεται· τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων
καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως. οὔτε γὰρ
θρασὺν, οὔτ᾽ ἄτολμον καὶ καταπλῆγα προ-
σήκειν εἶναι· τὸ μὲν, γὰρ εἰς ἀναισχυντίαν· τὸ
δὲ, εἰς ἀνδραποδωδίαν περιίσταται. ἔντεχνον
δὲ, τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν. ἐμμελές
τε· βούλομαι δ᾽ ἕως ἔτι μέμνημαι τῆς παι-
δείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν. ὅτι τὸν
μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ
μικρὸν ποιοῦμαι τεκμήριον. ἔπειτα δὲ καὶ
πρὸς τὴν ἄσκησιν ἀψίκορον· καὶ παντελῶς
ἀνυπόμονον εἶναι νομίζω· μονῳδία γὰρ ἐν ἅ-
πασιν ἐστὶ πλήσμιον, καὶ προσαντές. ἡ δὲ ποι-
κιλία τερπνὸν. καθάπερ κἀν τοῖς ἄλλοις ἅπα-
σιν. οἷον ἀκούσμασιν ἢ θεάμασι. δεῖ τοίνυν
τὸν παῖδα τὸν ἐλεύθερον, μηδενὸς μὴ δὲ τῶν

ἄλλων, τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων, μήτε ἀνήκοον μήτε ἀθέατον ἐᾶν εἶναι· ἀλλὰ ταῦτα μὲν ἐκ περιδρομῆς μαθεῖν ὡς περεὶ γεύματος ἕνεκεν. ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον. τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. ἔχω δὲ δι' εἰκόνος παραστῆσαι, τὴν ἐμαυτοῦ γνώμην. ὥσπερ γὰρ παραπλεῦσαι μὲν πολλὰς πόλεις, καλόν· ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος. ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις. οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις, ἑαυτοὺς κατασκελετεύουσι. διὸ δεῖ τῆς ἄλλης παιδείας, ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν· περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν, διττὰς εὗρον ἐπιστήμας ἄνθρωποι· τὴν ἰατρικὴν καὶ γυμναστικήν· ὧν ἡ μὲν τὴν ὑγίειαν· ἡ δὲ, τὴν εὐεξίαν ἐντίθησι· τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν, ἡ φιλοσοφία.

μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἐστὶ καὶ
μετὰ ταύτης γνῶναι τί τὸ καλόν. τί τὸ αἰ
σχρόν. τί τὸ δίκαιον. τί τὸ ἄδικον. τί τὸ συλλή
βδην αἱρετόν. τί φευκτόν. πῶς γονεῦσι. πῶς
πρεσβυτέροις. πῶς ἀλλοτρίοις. πῶς ἄρχουσι.
πῶς φίλοις. πῶς γυναιξί. πῶς οἰκέταις χρη,
στέον ἐστίν. ὅτι δεῖ θεοὺς μὲν σέβεσθαι. γονέας
δὲ τιμᾶν. πρεσβυτέρους αἰδεῖσθαι. νόμοις πει
θαρχεῖν. ἄρχουσι δὲ ὑπείκειν. φίλους δὲ ἀγα
πᾶν. πρὸς γυναῖκας σωφρονεῖν. τέκνων δὲ στερ
κτικοὺς εἶναι. δούλους μὴ περιυβρίζειν. τὸ δὲ
μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχα
ρεῖς. μήτε ἐν ταῖς συμφοραῖς, περιλύπους ὑ
πάρχειν. μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι.
μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις.
ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγι
γνομένων ἀγαθῶν πρεσβύτατα κρίνω. τὸ
μὲν εὐγενῶς εὐτυχεῖν, ἀνδρός. τὸ δ᾽ ἀνεπι,
φθόνως εὐηνίου ἀνθρώπου. τὸ δὲ τοῖς λογισ
μοῖς περιεῖναι τῶν ἡδονῶν, σοφοῦ. τὸ δὲ ὀργῆς
καταkρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. τω

ἀξίους δὲ ἀνθρώπους ἡγοῦμαι τοὺς δυνα-
μένους τὴν πολιτικὴν δύναμιν μῖξαι φιλοσο-
φίᾳ. οὓς τοῖν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑ-
πάρχειν ὑπολαμβάνω. τοῦ τε κοινωφελοῦς
βίου, πολιτευομένους· τοῦ τε ἀκύμονος καὶ γα-
ληνοῦ διατρίβοντας περὶ φιλοσοφίαν. τριῶν γὰρ
ὄντων βίων. ὧν ὁ μέν ἐστι πρακτικός, ὁ δὲ θεω-
ρητικός· ὁ δὲ, ἀπολαυστικός· ὁ μὲν ἔκλυτος καὶ
δοῦλος τῶν ἡδονῶν, ζωώδης καὶ μικροπρε-
πής ἐστιν. ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσο-
φίας ἄμουσος καὶ πλημμελής· ὁ δὲ θεωρητικός,
τοῦ πρακτικοῦ διαμαρτάνων, ἀνωφελής· πει-
ρατέον οὖν εἰς δύναμιν καὶ τὰ κοινὰ πράττειν
καὶ τῆς φιλοσοφίας ἀντιλαμβάνεσθαι, κατὰ τὸ
παρῆκον τῶν καιρῶν. οὕτως ἐπολιτεύσατο
περικλῆς. οὕτως ἀρχύτας ὁ ταραντῖνος· οὕτω
δίων ὁ συρακούσιος· οὕτως ἐπαμινώνδας ὁ θη-
βαῖος· ὧν ἕκαστος πλάτωνος ἐγένετο συνουσι-
αστής· καὶ περὶ μὲν παιδείας, οὐκ οἶδ' ὅτι δεῖ
πλείονα λέγοντα διατρίβειν· πρὸς δὲ τοῖς εἰρη-
μένοις χρήσιμον· μᾶλλον δὲ ἀναγκαῖόν ἐστι·

μὴ δὲ τῆς τῶν παλαιῶμ συγγραμμάτων κτή-
σεως ὀλιγώρως ἔχειν· ἀλλὰ καὶ τούτων ποιεῖ-
σθαι συλλογήμ· κατὰ τὸ γεωργῶδες
τὸν αὐτὸν τρόπομ ὄργανον
τῆς παιδείας, ἡ χρῆσις τῶν βιβλίων ἐστί. καὶ
ἀπὸ πηγῆς τὴν ἐπιστήμημ τηρεῖν συμβέβη-
κεν· οὐ τοίνυμ ἄξιομ. τὴν τῶν σωμάτων ἀγω-
νίαν παρορᾶμ ἀλλὰ πέμποντας ἐς παιδοτρί-
βους τοὺς παῖδας, ἱκανῶς ταῦτα διαπονεῖμ.
ἅμα μὲν τῆς τῶμ σωμάτων εὐρυθμίας ἕ-
νεκεν. ἅμα δὲ καὶ πρὸς ῥώμημ. καλοῦ γὰρ γή-
ρως θεμέλιος, ἐν παισὶ τῶν σωμάτωμ εὐεξί-
α. καθάπερ οὖμ ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶ-
να προσήκει παρασκευάζειμ, οὕτως ἐν νεότη-
τι, τὴν εὐταξίαν, καὶ τὴν σωφροσύνην ἐφόδιομ εἰς
τὸ γῆρας ἀποτίθεσθαι. οὕτω δεῖ ταμιεύε-
σθαι τὸν τοῦ σώματος πόνομ. ὡς μὴ καταξή-
ρους γιγνομένους, πρὸς τὴν τῆς παιδείας ἐπι-
μέλειαμ, ἀπαγορεύειμ. κατὰ γὰρ πλάτωνα ὕπνοι
καὶ κόποι μαθήμασι πολέμιοι. καὶ τί ταῦ-
τα· ἀλλ' ὃ πάντωμ ἐστὶ κυριώτατομ τῶμ ῥηθη-

μένων, σπεύδω λέγειν· πρὸς γὰρ τοὺς στρατι-
ωτικοὺς ἀγῶνας τοὺς παῖδας ἀσκητέον·
ἐν ἀκοντισμοῖς αὐτοὺς καταθλοῦντας· καὶ το-
ξείαις καὶ θήραις· Τὰ γὰρ τῶν ἡττωμένων ἐν
ταῖς μάχαις ἀγαθά, τοῖς νικῶσιν ἆθλα
πρόκειται· πόλεμος δέ, ἐσκιατραφημένην
σωμάτων ἕξιν οὐ δέχεται. ἰσχνὸς δὲ στρατιώ-
της, πολεμικῶν ἀγώνων ἐθὰς ἀθλητῶν ἐς
πόλεμον φάλαγγας διωθεῖ· Τί οὖν ἄν τις εἴποι.
σὺ δὲ δὴ περὶ τῆς τῶν ἐλευθέρων παίδων
ἀγωγῆς ὑποσχόμενος παραδείγματα πα-
ραδώσειν. ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων
καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς. μόνοις
δὲ τοῖς πλουσίοις ὁμολογεῖς τὰς ὑποθήκας δι-
δόναι· πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι· ἐ-
γὼ γὰρ μάλιστα ἂν βουλοίμην, πᾶσι κοινὴν
καὶ χρήσιμον τὴν ἀγωγήν. εἰ δέ τινες ἐνδεῶς
τοῖς ἰδίοις πράττοντες, ἀδυνατήσουσι τοῖς ἐ-
μοῖς χρῆσθαι παραγγέλμασι. τὴν τύχην αἰτι-
άσθωσαν· οὐ τὸν ταῦτα συμβουλεύοντα. πει-
ρατέον μὲν οὖν εἰς δύναμιν τὴν κρατίστην ἀγ-

γωγὴν ποιεῖσθαι τῶν παίδων καὶ τοῖς πένη
σιν. εἰ δὲ μή, τῇ γε δυνατῇ χρηστέον. καὶ ταῦ
τα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην. ἵ
να ἐφεξῆς καὶ τὰ ἄλλα μὴ φέροντα πρὸς τὴν
ὀρθὴν τῶν νέων ἀγωγήν, συνάψω. κἀκεῖνό φη
μι δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπι
τηδευμάτων ἄγειν. παραινέσεσι καὶ λόγοις
μὴ μὰ Δία πληγαῖς· μηδὲ αἰκισμοῖς· δοκεῖ
γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον ἢ τοῖς ἐ
λευθέροις πρέπειν· ἀποναρκῶσι καὶ φρίττουσι
πρὸς τοὺς πόνους. τὰ μὲν διὰ τὰς ἀλγηδό
νας τῶν πληγῶν· τὰ δέ, καὶ διὰ τὰς ὕβρεις. ἔ
παινοι δὲ καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφε
λιμώτεροι τοῖς ἐλευθέροις. οἱ μὲν ἐπὶ τὰ κα
λὰ παρορμῶντες. οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀ
νείργοντες. δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆ
σθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις. κἀπει
δὰν ἀντρίῳ σφοδρῶς ἐπιπλήξωσιν, ἐν αἰσχύνῃ
ποιεῖσθαι· καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαί
νοις. καὶ μιμεῖσθαι τὰς τίτθας αἵτινες ἐπει
δὰν τὰ παιδία κλαυθμυρίσωσιν εἰς παρηγο

ρίων πάλιν τὸν μισθὸν ὑπέχουσι. δεῖ δὲ αὐ
τοὺς μὴ δὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν.
χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαί
νων, καὶ θρύπτονται. ἤδη δέ τινας ἐγὼ εἶδον
πατέρας, οἷς τὸ λίαν φιλεῖν τοῦ μὴ φιλεῖν
αἴτιον κατέστη. τί δέ ἐστιν ὃ βούλομαι λέγειν.
ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω
τὸμ λόγομ. σπεύδοντες γὰρ τοὺς παῖδας ἐμ
πᾶσι ταχίομ πρωτεῦσαι. πόμους αὐτοῖς ὑ
περμέτρους ἐπιβάλλουσιν. οἷς ἀπαυδῶντες
ἐμπίπτουσι. καὶ ἄλλως βαρυνόμενοι ταῖς κα
κοπαθείαις. οὐ δέχονται τὴν μάθησιν εὐηνίως.
ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲμ μετρίοις ὕδα
σι τρέφεται. τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐ
τὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται
πόνοις, τοῖς δὲ ὑπερβάλλουσι βαπτίζεται.
δοτέομ οὖμ τοῖς παισὶμ ἀναπνοὴμ τῶμ συνε
χῶμ πόνων ἐνθυμουμένους. ὅτι πᾶς ὁ βίος
ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴμ διῄρηται. καὶ διὰ
τοῦτο οὐ μόνομ ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος
εὑρέθη. οὐ δὲ πόλεμος ἀλλὰ καὶ εἰρήνη. οὐ δὲ

χειμὼν, ἀλλὰ καὶ εὐδία· οὐδὲ ἐνεργοὶ πράξεις ἀλλὰ καὶ ἑορταί. συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἐστὶν ἄρτυμα· καὶ οὐκ ἐπὶ τῶν ζώων τοῦτο ἴδοι τις γιγνόμενον· ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν· καθόλου δὲ σώζεται σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει· ψυχὴ δὲ ἀνέσει καὶ πόνῳ· ἄξιον δὲ ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις, ἐπιτρέψαντες τοὺς υἱεῖς· αὐτοὶ τῆς τούτων μαθήσεως, οὐ αὐτόπται γίνονται τὸ παράπαν· οὔτε αὐτήκοοι πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες· αὐτοὺς γὰρ παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων· ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει· καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας· καὶ ταῦτα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χαρίεν· ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον ὡς βασιλέως ὀφθαλμός· πάντων δὲ

μοι μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν. αὕτη γὰρ ὥσπερεὶ τῆς παιδείας ἐστὶ ταμεῖον. καὶ διὰ τοῦτο μητέρα τῶν μουσῶν ἐμυθολόγησαν εἶναι τὴμ μνήμην. αἰνιττόμενοι καὶ παραδηλοῦντες, ὅτι οὕτως οὐδὲν γεννᾶν καὶ τρέφειν ὡς ἡ μνήμη πέφυκε. καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἐστὶν ἀσκητέον. εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιρρώσομεν. τὴν δὲ ἔλλειψιν, ἀναπληρώσομεν. καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίους· οἱ δὲ αὑτῶν. τὸ γὰρ ἡσιόδειον καλῶς εἴρηται. Ει γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ τοῦτ' ἔρδοις τάχα κεν καὶ μέγα τὸ γένοιτο. μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη, τῆς περὶ τῶν μελλόντων εὐβουλίας, γίνεται παρά-

δεῖγμα· καὶ μέντοι καὶ τῆς αἰσχρολογίας ἀπα-
κτέομ τοὺς υἱούς· λόγος γὰρ ἔργου σκιὴ κατὰ Δη-
μόκριτομ. εἶτα γε μὴμ ἐμτευκτικοὺς αὐτοὺς
εἶναι παρασκευαστέομ· καὶ φιλοπροσηγόρους·
ὡς γὰρ τὰ ἀνέντευκτα τῶν ἠθῶμ ἔστιν ἀξιομίση-
τα· οὕτως οἱ παῖδες ἀμισεῖς γίγνοιντ᾽ ἂμ τοῖς
συνοῦσι μὴ παντελῶς ἐμ ταῖς ζητήσεσιν, ἀ-
παραχώρητοι γιγνόμενοι. οὐ γὰρ τὸ νικᾶμ μό-
νομ, ἀλλὰ καὶ τὸ νικᾶσθαι ἐπίστασθαι καλόμ.
ἐν οἷς τὸ νικᾶν βλαβερόμ. ἔστι γὰρ ὡς ἀληθῶς καὶ
νίκη καδμεία. ἔχω δὲ μάρτυρα τούτου, εὐ-
ριπίδημ τὸν σοφὸμ ἐπαγαγέσθαι· λέγοντα δυ-
οῖμ λεγόντοιμ θατέρου θυμουμένου. ὁ μὴ ἀμ-
τιτείνων τοῖς λόγοις σοφώτερος. αὕτη τοίνυμ τῶν
εἰρημένων οὐδενὸς ἧττόμ ἐστιμ. ἀλλὰ καὶ μᾶλ-
λομ ἐπιτηδευτέα τοῖς νέοις. καὶ δὴ λεκτέον· ταῦ-
τα δέ ἐστι τὸ, βίομ ἄτυφομ ἀσκεῖμ· τὸ, τὴν
γλῶτταμ κατέχειν· τὸ τῆς ὀργῆς ὑπεράνω γί-
γνεσθαι. τὸ τῶν χειρῶν κρατεῖν· τούτων ἕκαστομ ἡ-
λίκομ ἐστὶμ ὀπτέομ· ἔσται δὲ ἐπὶ παραδειγμά-
των γνωριμώτερα. οἷομ ἵνα ἀπὸ τοῦ τελευ-

ταίρου πρῶτον ἄρξωμαι· τὰς χεῖρας τινὲς ὑπέ-
σχόντες λήμμασιν ἀδίκοις· τὸν προβεβιωμέ-
νον βίον ἐξέχεαν· ὡς Γύλιππος ὁ λακεδαιμό-
νιος· τὰ σακκία τῶν χρημάτων παραλύ-
σας φυγὰς ἀπηλάθη τῆς σπάρτης· τό γε μὴν
ἀόργητον ἀνδρός ἐστι σοφοῦ· σωκράτης μὲν γὰρ
λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα
βδελυροῦ· τοὺς ἀμφ᾽ αὐτὸν ὁρῶν ἀγανακτοῦν-
τας καὶ σφαδάζοντας· ὡς καὶ διώκειν αὐτὸν ἐθέ-
λειν· ἆρα ἔφησε· καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντι-
λακτίσαι τοῦτον ἠξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός
γε παντελῶς κατεπράξατο· πάντων δὲ
αὐτὸν ὀνειδιζόντων, καὶ λακτιστὴν ἀποκαλούν-
των, ἀπήγξατο· ἀριστοφάνους δὲ ὅτε τὰς νεφέ-
λας ἐξέφερε· παντοίως πᾶσαν ὕβριν αὐτοῦ
κατασκεδαννύντος· καί τινος τῶν παρόντων
τὰ τοιαῦτα ἀνακωμῳδοῦντος; οὐκ ἀγανα-
κτεῖς εἰπόντος ὦ σώκρατες; μὰ δί᾽ οὐκ ἔγωγε ἔ-
φησεν. ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ τῷ θε-
άτρῳ σκώπτομαι. ἀδελφὰ δὲ τούτοις καὶ σύζυ-
γα φανήσονται πεποιηκότες ἀρχύτας ὁ τα-

ραντῖνος καὶ πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀ-
πὸ πολέμου. στρατηγῶν δὲ ἐτύγχανε τὴν κα-
ταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέ-
σας αὐτῆς, ᾤμωξας ἄν ἔφησεν εἰ μὴ λίαν ὠρ-
γιζόμην. πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδε-
λυρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν σπεύ-
σιππον καλέσας. τοῦτον ἔφησεν ἀπελθὼν κρό-
τησον. ἐγὼ γὰρ πάνυ θυμοῦμαι. χαλεπὰ
δὲ ταῦτα καὶ δυσμίμητα φαίη τις ἄν. οἶ-
δα κἀγώ. πειρατέον δ' οὖν εἰς ὅσον οἷόν τέ ἐστι
τούτοις παραδείγμασι χρωμένους. τὸ πολὺ
τῆς ἀκράτου καὶ μαινομένης, ὑφαιρεῖν ὀργῆς.
οὐδὲ γὰρ ἐς τἆλλα ἐφάμιλλοι ταῖς ἐκείνων ἐς-
μέν. οὔτ' ἐμπειρίαις οὔτε καλοκαγαθίαις. ἀλ-
λ' οὐδὲν ἧττον ἐκείνων, ὥσπερ θεῶν ἱεροφάν-
ται καὶ δᾳδοῦχοι τῆς σοφίας ὄντες, ὅσα πέρ
ἐστιν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περι-
κνίζειν ἐπιχειροῦμεν. τὸ τοίνυν τῆς γλώττης
κρατεῖν, περὶ τούτου γὰρ, ὥσπερ ὑπεθέμην
λοιπὸν εἰπεῖν. εἴ τις μικρὸν καὶ φαῦλον ὑπείλη-
φε, πλεῖστον διαμαρτάνει τῆς ἀληθείας. σο-

φὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγου κρείτ-
τον. καὶ διὰ τοῦτό μοι δοκοῦσι τὰς μυστηριώδεις
τελετὰς οἱ παλαιοὶ καταδεῖξαι. ἵνα ἐν ταύ-
ταις σιωπᾶν ἐθισθέντες, ἐπὶ τὴν τῶν ἀν-
θρωπίνων μυστηρίων πίστιν τὸν ἀπὸ τοῦ θεῶν
μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ σιωπήσας μὲν
οὐδεὶς μετενόησε. λαλήσαντες δὲ, παμ-
πληθεῖς. καὶ τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον·
τὸ δὲ ῥηθὲν, ἀναλαβεῖν ἀδύνατον. μυρίους
δὲ ἔγωγε οἶδα ἀκούσας, ταῖς μεγίσταις συμ-
φοραῖς περιπεπτωκότας, διὰ τὴν τῆς γλώτ-
της ἀκρασίαν· ὧν τοὺς ἄλλους παραλιπὼν,
ἑνὸς ἢ δυοῖν τύπου ἕνεκεν ἐπιμνησθήσομαι.
τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν
Ἀρσινόην, Σωτάδης εἰπὼν, εἰς οὐχ ὁσίην τρυμα-
λιὴν τὸ κέντρον ὠθεῖς, ἐν δεσμωτηρίῳ πολ-
λοὺς κατεσάπη χρόνους. καὶ τῆς ἀκαίρου λα-
λιᾶς, οὐ μεμπτὴν ἔδωκε δίκην. ἵνα δὲ γέ-
λωτα παράσχῃ τοῖς ἄλλοις. αὐτὸς πολὺν χρό-
νον ἔκλαυσεν. ἐνάμιλλα δὲ τούτοις καὶ σύζυ-
γα. καὶ Θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ ἔπαθε·

καὶ πολὺ θνητότερα. ἀλεξάνδρου γὰρ πορφυρὰς
ἐσθῆτας κελεύσαμτος κατασκευάζειν τοὺς
ἕλλημας. ἵνα ἐπανελθὼν τὰ ἐπιμίκια τοῦ
πολέμου κατὰ τῶν βαρβάρων θύσει· καὶ τῶν
ἐθνῶμ κατὰ κεφαλὴν, εἰσφερόντων ἄργυρον, πρό
τερον μὲμ ἔφησεν ἠμφισβήτουμ. νῦμ δ᾽ ἤδη πείθο
μαι σαφῶς, ὅτι ὁ πορφύρεος ὁ μήρου θάνατος
οὗτός ἐστιν. ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν ἀλέξαν
δρομ. ἀντίγονον δὲ τὸν βασιλέα τῶν μακεδόνων
ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέ-
ρων εἰς οὐ μετρίαμ ὀργὴν κατέστησε. τὸν γὰρ ἀρ
χιμάγειρον εὐτροπίωμα γεγενημένον ἐν τάξει
παραγενέσθαι πρὸς αὐτὸμ ἠξίου. καὶ λόγομ
δοῦναι καὶ λαβεῖν. ταῦτα δὲ ἀπαγγέλοντος ἐ
κείνου πρὸς αὐτὸμ. καὶ πολλάκις προσιόντος, εὖ
οἶδα ἔφησεν. ὅτι ὠμόν με θέλεις τῷ κύκλω
πι παραθεῖναι. ὀνειδίζωμ τὸμ μὲμ, ὅτι πηρός·
τὸν δὲ, ὅτι μάγειρος ἦν. κἀκεῖνος τοιγαροῦν εἰ
πὼμ. τὴν κεφαλὴν οὐχ ἕξεις. ἀλλὰ τῆς ἀθυροσο-
μίας ταύτης καὶ μανίας δώσεις δίκην. ἀπή-
γγελε τὰ εἰρημένα τῷ βασιλεῖ. καὶ ὁ μὲμ πέμ

ψας ἀνεῖλε τὸν Θεόκριτον. παρὰ πάντα δὲ
ταῦτα ὅπερ ἐστὶν ἱεροπρεπέστατον, ἐκπαιδεύ-
ειν δεῖ τοὺς παῖδας, τὸ τἀληθῆ λέγειν. τὸ γὰρ
ψεῦδος δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις ἄ-
ξιον μισεῖσθαι. καὶ οὐδὲ μετρίοις δούλοις συγ-
γνωστόν. ταῦτα μὲν οὖν οὐκ ἐνδοιάσας. οὐδὲ
μελλήσας περὶ τῆς τῶν παίδων εὐκοσμίας
καὶ σωφροσύνης διείλεγμαι. περὶ δὲ τοῦ ῥηθή-
σεσθαι μέλλοντος, ἀμφίδοξός εἰμι καὶ διχο-
γνώμων. καὶ τῇ δὲ      κλίνων ὡς ἐπὶ πλάστιγγος
πρὸς οὐδέτερον ῥέψαι δύναμαι. πολὺς δ᾽ ὄκνος
ἔχει με καὶ τῆς εἰσηγήσεως. καὶ τῆς ἀποτροπῆς
τοῦ πράγματος. ἀποτολμητέον οὖμ ὅμως εἰ-
πεῖν αὐτό. τί οὖν τοῦτό ἐστι. πότερα δεῖ τοὺς
ἐρῶντας τῶν παίδων, ἐᾶν τούτοις συνεῖναι καὶ
συνδιατρίβειν, ἢ τοὐναντίον εἴργειν αὐτοὺς καὶ
ἀποσοβεῖν τῆς πρὸς τούτους ὁμιλίας προσ-
ήκων. ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς
πατέρας αὐθεκάστους καὶ τὸν τρόπον ὀμφακία
καὶ στρυφνούς. οἳ τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν νο-
μίζουσι, τὴν τῶν ἐρώντων ὁμιλίαν. εὐλαβοῦμαι

ὁ αὐτὸς ἢ συνετὴς γενέσθαι καὶ σύμβουλος. ὁ
ταμ δ' αὖ πάλιν ἐμθυμηθῶ τὸν σωκράτημ. τὸν
πλάτωνα. τὸν ξενοφῶντα. τὸμ αἰσχίνην. τὸν κέ
βητα. τὸν πάντα χορὸμ ἐκείνωμ τῶν ἀνδρῶν
τοὺς ἄρρενας δοκιμάσαντας ἔρωτας, καὶ τὰ
μειράκια προάγαγομ ἐπί τε παιδείαμ καὶ δη
μαγωγίαμ. καὶ τὴν ἀρετὴν τῶν τρόπων. πά
λιν ἕτερος γίγνομαι, καὶ κάμπτομαι πρὸς τὸμ
ἐκείνων τῶν ἀνδρῶν ζῆλον. μαρτυρεῖ δὲ τού
οις εὐριπίδης, οὕτω λέγων. ἀλλ' ἔστι δή τις ἄλ
λος ἐμ βροτοῖς ἔρως ψυχῆς δικαίας. σώφρονός
τε κἀγαθῆς. τοὺς μὲν οὖμ τῆς ὥρας ἐπιθυ
μοῦντας ἀπελαύνειν προσήκει. τοὺς δὲ τῆς ψυ
χῆς ἐραστὰς ἐκκρίνειν κατὰ τὸ σύνολον. καὶ
τοὺς μὲν θήβησι καὶ τοὺς ἤλιδι φευκτέον ἔρω
ας. καὶ τὸν ἐκ κρήτης καλούμενομ ἁρπαγμόν.
οὺς δὲ ἀθήνησι καὶ τοὺς ἐν λακεδαίμονι ζηλω
τέον. περὶ μὲμ οὖν
τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸμ πέπει
κεν, οὕτως ὑπολαμβανέτω. ἐγὼ δὲ ἐπειδὴ πε
ρὶ τῆς τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιό

ότητος, καὶ ἐπὶ τὴν τῶν μειρακίωμ ἡλικίαν ἤδη
μεταβήσομαι. μικρὰ παντάπασιν εἰπὼν. πολλάκις
γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἠθῶν γεγο-
νότας εἰσηγητάς. οἵτινες τοῖς μὲν παισὶ παιδα-
γωγοὺς καὶ διδασκάλους ἐπέστησαν. τὴν δὲ τῶν
μειρακίων ὁρμὴν ἄφετομ εἴασαν νέμεσθαι. δέ-
ον ὂμ τοὐναντίομ πλείω ποιεῖσθαι τουτῶν εὐ-
λάβειαν καὶ φυλακὴν, τῶν παίδωμ. τίς γὰρ οὐ-
κ οἶδεν ὅτι τὰ μὲμ τῶν παίδων πλημμελή-
ματα, μικρὰ καὶ παντελῶς ἐστὶν ἰάσιμα·
παιδαγωγῶμ ἴσως ὀλιγωρία· καὶ διδασκά-
λωμ παραγωγὴν ἀνηκουστία. τὰ δὲ τῶν ἤδη νε-
ανιευομένων ἀδικήματα, πολλάκις ὑπερ-
φυᾶ γίγνεται καὶ σχέτλια ἀμετρία γαστρὸς. καὶ
κλοπαὶ πατρῴων χρημάτων. καὶ κύβοι. καὶ κῶ-
μοι. καὶ πότοι. καὶ παρθένων ἔρωτες· καὶ γυναικῶμ
οἰκοφθορίαι γαμετῶμ. οὐκοῦν τὰς τούτωμ ὁρ-
μὰς ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέ-
χειν προσήκειμ· ἀταμίευτον γὰρ τῶν ἡδονῶμ ἡ
ἀκμὴ καὶ σκιρτητικὸμ. καὶ χαλινοῦ δεόμενον.
ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀμ

τι λαμβανόμενοι· τῇ διαμοιᾷ διδόμενοι ἐξουσί
αν, ἐπὶ τὰ ἀδικήματά εἰσι. δεῖ τοίνυν τοὺς ἔ
μφρονας πατέρας, παρὰ τοῦτον μάλιστα τὸν
καιρὸν φυλάττειν καὶ γρηγορέναι· σωφρονίζοντας τοὺς
μειρακίσκους· διδάσκοντας. ἀπειλοῦντας. δε
ομένους· συμβουλεύοντας. ὑπισχνουμένους·
παραδείγματα δεικνύντας· τῶν μὲν, διὰ φι
ληδονίαν συμφοραῖς περιπεσόντων. διὰ δὲ καρ
τερίαν ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησα
μένων· δύο γὰρ ταῦτα ὥσπερεὶ στοιχεῖα τῆς
ἀρετῆς εἰσιν· ἐλπίς τε τιμῆς, καὶ φόβος τιμωρί
ας. ἡ μὲν γὰρ ὁρμητικωτέρους, πρὸς τὰ κάλ
λιστα τῶν ἐπιτηδευμάτων. ἡ δὲ ὀκνηροὺς πρὸς
τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. καθόλου
δὲ ἀπείργειν προσήκει τοὺς παῖδας, τῆς πρὸς τοὺς
πονηροὺς ἀνθρώπους συνουσίας· ἀποφέρονται
γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγελ
λε καὶ πυθαγόρας αἰνίγμασιν. ἃ παρέχων πα
ραθεὶς ἐξηγήσομαι· καὶ γὰρ ταῦτα πρὸς ἀρε
τῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην·
οἷον μὴ γεύεσθαι μελανούρων· τουτέστι μὴ

συνδιαφέρειν μέλλουσιν ἀνθρώποις· διὰ κα-
κοήθειαν. μὴ δὲ ζυγὸν ὑπερβαίνειν· τουτέστιν ὅ-
τι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι
λόγον· καὶ μὴ ταύτην ὑπερβαίνειν. μὴ δὲ ἐπὶ
χοίνικα καθίσαι· φεύγειν ἀργίαν· καὶ προνοεῖν
ὅπως τὴν ἀναγκαίαν παρασκευάσω τροφήν.
μὴ παντὶ ἐμβάλλειν δεξιάν· ἀντὶ τοῦ προ-
χείρως οὐ δεῖ συναλλάττειν. μὴ φορεῖν στενὸν δα-
κτύλιον· ὅτι δεῖ τὸν βίον ἐλεύθερον ἐπιτηδεύ-
ειν· καὶ μηδένα δεσμὸν προσάπτειν αὐτῷ. πῦρ
σιδήρῳ μὴ σκαλεύειν· ἀντὶ τοῦ θυμούμενον
μὴ ἐρεθίζειν· οὐ γὰρ προσήκει· ἀλλ' ὑπείκειν τοῖς
ὀργιζομένοις. μὴ ἐσθίειν καρδίαν. μὴ βλάπτειν
τὴν ψυχὴν ταῖς φροντίσιν αὐτὴν καταψύχοντα.
κυάμων ἀπέχεσθαι· ὅτι οὐ δεῖ πολιτεύεσθαι.
κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφο-
ρίαι. δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς. σι-
τίον εἰς ἀμίδα μὴ ἐμβάλλειν. ἐπισημαίνει
γὰρ ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλ-
λειν οὐ προσήκει· ὁ μὲν γὰρ λόγος τροφὴ διανοί-
ας ἐστί· τοῦτον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ

τῶν ἀνθρώπων· μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας. τουτέστι μέλλοντας ἀποθνήσκειν· καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν· ἀνακάμπτω δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν. ἁπάντων μὲν γὰρ ὅπερ ἔφην τῶν πονηρῶν ἀνθρώπων ἀπέχειν δεῖ τοὺς παῖδας· μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶ λέγων καὶ νῦν ἂν εἴποιμι· γένος οὐδέν ἐστιν ἐξωλέστερον· οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον τὴν νεότητα, τῶν κολάκων· οἳ καὶ τοὺς πατέρας, καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι· τῶν μὲν τὸ γῆρας ἐπίλυπον· τῶν δὲ, τὴν νεότητα ποιοῦντες. δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν· τοῖς παισὶ τοῖς πλουσίοις οἱ πατέρες νήφειν παραινοῦσιν· οἱ δὲ μεθύειν· σωφρονεῖν, οἱ δὲ ἀσελγαίνειν· φυλάττειν, οἱ δὲ δαπανᾶν· φιλεργεῖν, οἱ δὲ ῥᾳθυμεῖν· στιγμὴ χρόνου πᾶς ἐστιν ὁ βίος λέγοντες· ζῆν καὶ οὐ παραζῆν προσήκει· τί δ' ἂν φροντί

στέομ ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶμ. κρονόληρος·
καὶ σοροδαίμωμ ἐστί· καὶ μετέωρομ τὴμ τα-
χίστημ ἐξοίσομεν· καθῆκε δέ τις καὶ χαμαι-
τύπην. καὶ προαγωγεῦσαι γαμετήν· καὶ τὰ τῶν
πατέρων ἐφόδια τοῦ γήρως ἐσύλησε καὶ πε-
ριέκοψε. μιαρὸν τὸ φῦλομ. ὑποκριταὶ φιλίας·
ἄγευστοι παρρησίας· πλουσίωμ μὲν κόλακες·
πενήτωμ δὲ ὑπερόπται· ὡς ἐκ λυρικῆς τέ-
χνης ἐπὶ τοὺς νέους ἀγόμενοι· σεσηρότες ὅ-
ταν τρέφονται γελῶσι. καὶ ψυχῆς ὑποβολιμαῖ-
α. καὶ νόθα μέρη βίου· πρὸς δὲ τὸ τῶν πλου-
σίων νεῦμα ζῶντες· τῇ τύχῃ μὲν ἐλεύθεροι
τῇ προαιρέσει δὲ δοῦλοι. ὅταμ δὲ μὴ ὑβρίζων-
ται, τότε ὑβρίζεσθαι δοκοῦντες. ὅτι μάτην,
παρατρέφονται· ὥστε εἴ τῳ μέλει τῶν πατέρων,
τῆς τῶν τέκνων εὐαγωγίας. ἐκδιωκτέομ τὰ μι-
αρὰ ταῦτα θρέμματα. ἐκδιωκτέομ δὲ καὶ τὰς
τῶν συμφοιτητῶν μοχθηρίας. καὶ γὰρ οὗτοι τὰς
ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί·
ταῦτα μὲμ οὖν καλὰ καὶ συμφέροντα· ἃ
δὲ μέλλω λέγειν ἀνθρώπινα· οὐ δὲ γὰρ αὖ

πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως τρα
χεῖς καὶ σκληροὺς εἶναι τὴμ φύσιμ· ἀλλὰ πολ
λαχοῦ, καὶ συγχωρῆσαί τινα τῶν προτέρων
ἁμαρτημάτων. καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅ
τι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ
τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμι
γνῦντες τὴμ τέρψιμ ἐπὶ τὸ συμφέρομ, πάρο
δομ εὗρον. οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν ἐπι
τιμημάτων ἀποτομίαν τῇ πρᾳότητι μιγνῦ
ναι. καὶ τοτὲ μὲν ταῖς ἐπιθυμίαις τῶμ παί
δων ἐφιέναι καὶ χαλάσαι τὰς ἡνίας· τοτὲ δὲ
αὖ πάλιν ἀντιτείναι. καὶ μάλιστα δὲ εὐκό
λως φέρειμ τὰς ἁμαρτίας· εἰ δὲ μή γε πρὸς
ὀργισθέντας, ταχέως ἀποφλεγμῆναι·
μᾶλλον γὰρ ὀξύθυμομ εἶναι δεῖ τὸμ πατέρα,
ἢ βαρύθυμομ. ὡς τό γε δυσμενὲς καὶ δυσκα
τάλλακτον μισοτεκνίας, οὐ μικρὸν τεκμή
ριόν ἐστι· καλὸμ δὲ ἔνια τῶν ἁμαρτημάτων,
μὴ δὲ εἰδέναι δοκεῖν. ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυ
ωπὸμ καὶ δύσκωφον, ἐπὶ τὰ γιγνόμενα με
ταφέρειμ. ὡς ἔνια τῶν πραττομένων ὁρῶμ

τας μὴ ὁρᾶν. καὶ ἀκούοντας μὴ ἀκούειν· φί
λων ἁμαρτήματα φέρομεν. τί θαυμαστὸν
εἰ τέκνων· δούλων πολλάκις κραιπαλώντων
μέθην οὐκ ἐξηλέγξαμεν. ἐφείσω ποτέ. ἀλ
λὰ καὶ χορήγησον· ἠγανάκτησας ποτέ, ἀλ
λὰ καὶ σύγγνωθι. ἐβουκόλησε ποτὲ διὰ οἰκέ
του, τὴν ὀργὴν κατάσχες. ἐξ ἀγροῦ ποτὲ ζεῦγος
ἀφείλετο· ἦλθε ποτὲ χθιζῆς μέθης ἀποπνέ-
ων, ἀγνόησον· μύρων ὄζων, σίγησον· οὕτω
σκιρτῶσα νεότης πωλοδαμνεῖται· πειρατέον
δὲ τοὺς ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτι-
μήσεις δυσηκόους, γάμῳ καταζεῦξαι· δεσ-
μὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος· ἐγ
γυᾶσθαι δὲ δεῖ τοῖς υἱοῖς γυναῖκας, μήτε εὐ
γενεστέρας πολλῷ· μήτε πλουσιωτέρας·
τὸ γὰρ τὴν κατὰ σαυτὸν ἔλα, σοφόν· ὡς οἵ γε
μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες. οὐ
τῶν γυναικῶν ἄνδρες· τῶν δὲ προικῶν δοῦ
λοι λανθάνουσι γινόμενοι· βραχέα δὲ προσ
θεὶς αὐτοῖς, παραγράψω τὰς ὑποθήκας·
πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας, τὸ μὴ

δεῖν ἁμαρτάνειν· ἀλλὰ πάντα ἃ δεῖ πράττοντας
ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις
παρέχειν· ἵνα πρὸς τὸν τούτων βίον, ὥσπερ
κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν
αἰσχρῶν ἔργων καὶ λόγων· ὡς οἵτινες τοῖς ἁ-
μαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες τοῖς αὐτοῖς
ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ τῷ ἐκεί-
νων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γι-
γνόμενοι· τὸ δ᾽ ὅλον φαύλως ζῶντες οὐδὲ τοῖς
δούλοις παρρησίαν ἄγουσιν ἐπιτιμᾶν· μή τοι
γε τοῖς υἱοῖς· χωρὶς δὲ τούτων, γένοιντο ἂν αὐτοὶ
τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκα-
λοι. ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐν-
ταῦθα ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι·
πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν
πάντα ὅσα προσῆκεν ἐπιτηδεύειν. ζηλώσαν-
τας εὐρυδίκην· ἥτις ἰλλυρὶς οὖσα καὶ τρισβάρ-
βαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων ὀψὲ
τῆς ἡλικίας ἥψατο παιδείας· ἱκανῶς δὲ αὐ-
τῆς τὴν φιλοτεκνίαν σημαίνει τὸ ἐπίγραμμα
ὅπερ ἀνέθηκε μούσαις· Ευριδίκη ἱρασελι

ἥτις τὸ δ᾽ ἀμέθηκε Μούσαις εὔοισαν ψυχῆς ἔλουσα πόθον. Γράμματα γὰρ μνήματα λόγων, μήτηρ γεγαῦα. Παίδων ἡβώντων ἐξωπόμησω μαθεῖν. τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν, εὐχῆς ἴσως ἢ παραινέσεως ἔργον ἐστί. τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι, καὶ πολλῆς ἐπιμελείας ἀνυστὸν δ᾽ οὖν ἀνθρωπίνῃ φύσει καθέστηκεν.

# ΤΕΛΟΣ.

# ΞΕΝΟΦΩΝΤΟΣ. ΙΕΡΩΝ. Η ΤΥΡΑΝΝΙΚΟΣ.

ιμωνίδης ὁ ποιητὴς, ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης. ἆρ᾽ ἄν μοι ἐθελήσαις ὦ Ἱέρων διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ, καὶ

ποῖα ταῦτ᾽ ἐστὶν ἔφη ὁ ἱέρων· ὁποῖα δὴ ἐ
γὼ βέλτιον ἂν εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀν
δρός· οἶδά σε ἔφη ἐγὼ καὶ ἰδιώτην γεγενη
μένον καὶ νῦν τύραννον ὄντα· εἰκὸς οὖν ἀμφοτέ
ρων πεπειραμένον· καὶ εἰδέναι σε μᾶλλον ἐ
μοῦ· πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιω
τικὸς βίος· εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώ
ποις· τί οὖν ἔφη ὁ ἱέρων οὐχὶ καὶ σὺ ἐπεὶ
νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν
τῷ ἰδιωτικῷ βίῳ· οὕτως γὰρ ἄν σοι οἶμαι μάλ
λιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα
ἐν ἑκατέρῳ· οὕτω δὴ ὁ σιμωνίδης εἶπε·
τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε ὦ ἱέρων δοκῶ
μοι καταμεμαθηκέναι· διὰ μὲν τῶν ὀφθαλ
μῶν, ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους·
διὰ δὲ τῶν ὤτων ἀκούσμασι· διὰ δὲ τῶν ῥι
νῶν, ὀσμαῖς. διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ
ποτοῖς· τὰ δ᾽ ἀφροδίσια, δι᾽ ὧν δή, πάντες ἐ
πιστάμεθα· τὰ δὲ ψύχη καὶ θάλπη καὶ σκλη
ρὰ καὶ μαλακὰ καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ
σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες· ἥδεσθαί
τε καὶ λυπεῖσθαι ἐπ᾽ αὐτοῖς. ἀγαθοῖς δὲ καὶ κα

κοῖς, ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι
δοκοῦμεν ἥδεσθαι. ὅτε δ' αὖ λυπεῖσθαι. ἔστι
δ' ὅτε κοινῆ· καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ
σώματος. τῷ δ' ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δο-
κῶ μοι αἰσθάνεσθαι· ὅπως δὲ· καὶ ᾧτινι· καὶ ὁπό-
τε, ταῦτα, μᾶλλον πως ἔφη δοκῶ μοι ἀγνο-
εῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστόν· εἰ τὰ ἐν
τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις
παρέχεται. ἢ τὰ ἐν τῷ ὕπνῳ· πρὸς ταῦτα δὴ
ὁ ἱέρων ἀπεκρίνατο· ἐγὼ μὲν τοίνυν ἔφη ὦ
σιμωνίδη. ἔξω τούτων ὧν εἴρηκας σύ γε. οὐδ' ὅ-
πως αἴσθοιτό τινος ἄλλου ὁ τύραννος ἔχοιμ' ἂν
εἰπεῖν. ὥστε μέχρι γε τούτου οὐκ οἶδ' εἴ τινι δια-
φέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ
σιμωνίδης εἶπεν. ἀλλ' ἐν τοῖσδε ἔφη διαφέρει·
πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνε-
ται· πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει· καὶ ὁ ἱέρων
εἶπεν· οὐχ οὕτως ἔχει ὦ σιμωνίδη ταῦτα·
ἀλλ' εὖ ἴσθ' ὅτι, μείω πολὺ εὐφραίνονται οἱ τύ-
ραννοι τῶν μετρίως διαγόντων ἰδιωτῶν πολὺ
δὲ πλείω καὶ μείζω λυποῦνται. ἄπιστα λέγεις ἔ-
φη ὦ σιμωνίδης· εἰ γὰρ οὕτω ταῦτ' ἔχει, πῶς

ἂν. πολλοὶ μὲν ἐπιθυμοῦσι τυραννεῖν. καὶ ταῦ
τα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι. πῶς
δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους. ὅτι,
ναὶ μὰ τὸν δί᾽ ἔφη ὁ Ἱέρων. ἄπειροι ὄντες ἀμφο
τέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐ
γὼ δὲ πειράσομαί σοι διδάσκειν ὅτι ἀληθῆ
λέγω. ἀρξάμενος ἀπὸ τῆς ὄψεως. ἐντεῦθεν
γὰρ δοκῶ καὶ σὲ μεμνῆσθαι ἀρξάμενον λέγειν.
πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμα
σι λογιζόμενος, εὑρίσκω μειονεκτοῦντας τοὺς
τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξι
οθέατα. ἐπὶ δὲ τούτων ἕκαστα, οἱ μὲν ἰδιῶται
ἔρχονται. καὶ εἰς πόλεις ἃς βούλονται. θεαμάτων
ἕνεκα. καὶ εἰς τὰς κοινὰς πανηγύρεις. ἔνθα τὰ ἀ
ξιοθεατότατα δοκεῖ εἶναι ἀνθρώποις συνα-
γείρεσθαι. οἱ δὲ τύραννοι, οὐ μάλα ἀμφὶ θεω
ρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλὲς. ὅ
που μὴ κρείττονες τῶν παρόντων μέλλουσιν
ἔσεσθαι. οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρὰ, ὥστε
ἄλλοις παρακαταθεμένους, ἀποδημεῖν. φοβοῦν
ται γὰρ μὴ ἅμα στερηθῶσι τῆς ἀρχῆς. καὶ ἀ-
δύνατοι γένωνται τιμωρήσασθαι τοὺς ἀδική-

σαντας· εἴποις ἂν ἴσως σύ· ἀλλ' ἄρα ἔρχονται
αὐτοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσι· ναὶ μὰ Δί'
ὦ σιμωνίδη. ὀλίγα γε τῶν πολλῶν. καὶ ταῦτα
τοιαῦτα ὄντα· οὕτω τίμια πωλεῖται τοῖς τυράν
νοις, ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὁτιοῦν· ἀξιοῦσι
πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ, ἀπιέ
ναι παρὰ τοῦ τυράννου. ἢ ὅσα ἐν παντὶ τῷ βίῳ
παρὰ πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται. καὶ ὁ σι
μωνίδης εἶπεν· ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖ
τε. διά γέ τοι τῆς ἀκοῆς πλεονεκτεῖτε. ἐπεὶ τοῦ
μὲν ἡδίστου ἀκροάματος ἐπαίνου οὔποτε σπανί
ζετε. πάντες γὰρ οἱ παρόντες ὑμῖν πάντα καὶ ὅσα
ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ
χαλεπωτάτου ἀκροάματος λοιδορίας ἀνήκο
οί ἐστε. οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλ
μοὺς κατηγορεῖν· καὶ ὁ ἱέρων εἶπεν· καὶ τί οἴει
ἔφη τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν· ὅ-
ταν εἰδῇ τις σαφῶς· ὅτι οἱ σιωπῶντες οὗτοι
πάντες κακὰ νοοῦσι τῷ τυράννῳ. ἢ τοὺς ἐπαι
νοῦντας τί δοκεῖς εὐφραίνειν ὅταν ὕποπτοι ὦσιν
ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιεῖσθαι.
καὶ ὁ σιμωνίδης εἶπε. τοῦτο μὲν δὴ ναὶ μὰ τὸν

δία ἔγω γέ σοι ἱέρων πάνυ συγχωρῶ τοὺς ἐ-
παίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους
εἶναι. ἀλλ' ὁρᾷς ἐκεῖνό γε οὐκ ἂν, ἔτι πείσαις
ἀνθρώπων οὐδένα. ὡς οὐ δι' ὧν τρεφόμεθα οἱ
ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραί-
νεσθε. καὶ οἶδά γε ἔφη ὦ σιμωνίδη. ὅτι τὸ
κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ἡμᾶς καὶ ἐσθίειν καὶ
πίνειν τῶν ἰδιωτῶν ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον
ἂν, δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖ-
πνον ἢ τὸ ἑαυτοῦ. τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλ-
λον τοῦτο παρέχειν τὰς ἡδονάς. διὸ καὶ πάν-
τες ἄνθρωποι, ἡδέως προσδέχονται τὰς ἑορτὰς
πλὴν οἱ τύραννοι. ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ πα-
ρεσκευασμέναι. οὐδὲ μίαν ἐν ταῖς ἑορταῖς ἔ-
χουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύ-
τῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονε-
κτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα δ' ἔφη ἐκεῖνο εὖ οἶ-
δ' ὅτι καὶ σὺ ἔμπειρος εἶ. ὅτι ὅσῳ ἂν πλείω τίς
παράθηται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ θᾶσ-
σον κόρος ἐμπίπτει τῆς ἐδωδῆς, ὥστε καὶ τῷ
χρόνῳ τῆς ἐδωδῆς μειονεκτεῖ ὁ παρατιθέμε-
νος πολλὰ, τῶν μετρίως διαιτωμένων. ἀλλὰ

καὶ μὰ δία ἔφη ὁ σιμωνίδης· ὅσον ἂμ χρό
νον ἡ ψυχὴ προσίηται τοῦτον πολὺ μᾶλλον ἥ
δονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς
τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμέ
νωμ· οὐκοῦν ἔφη ὁ ἱέρωμ ὦ σιμωνίδη· τὸμ
ἑκάστῳ ἡδόμενομ μάλιστα τοῦτομ οἴει καὶ ἐ
ρωτικώτατα ἔχειμ τοῦ ἔργου τούτου; πάνυ
μὲν οὖμ ἔφη· ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους ἥδι
ομ ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας ἢ τοὺς
ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν; οὐ μὰ τὸμ δί' ἔφη οὐ
μὲν οὖν· ἀλλὰ καὶ ἀγλευκέστερον· ὡς πολλοῖς ἂμ
δόξειε· τί γὰρ ἔφη ὁ ἱέρων τὰ πολλὰ ταῦτα
μηχανήματα κατανενόηκας· ἃ παρατίθεται
τοῖς τυράννοις· ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ
τούτων ἀδελφά; πάνυ μὲν οὖν ἔφη ὁ σιμω
νίδης· καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιμ
εἶναι ταῦτα ἀνθρώποις· ἄλλο, τι οὖν οἴει ἔφη ὁ
ἱέρων ταῦτα τὰ ἐδέσματα εἶναι ἢ μαλα
κῆς καὶ ἀσθενούσης ψυχῆς ἐπιθυμήματα
ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες καὶ
σύ που οἶσθα ὅτι οὐδὲν προσδέονται τούτων
τῶν σοφισμάτωμ· ἀλλὰ μέντοι ἔφη ὁ σιμωνί

δης τῶν τε πολυτελῶν ὀσμῶν τούτων αἷς
χρίεσθαι· τοὺς πλησιάζοντας οἶμαι μᾶλλον
ἀπολαύειν ἢ αὐτοὺς ὑμᾶς· ὥσπερ γε καὶ
τῶν ἀχαρίτων ὀσμῶν, οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰ
σθάνεται· ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες·
οὕτω μέντοι ἔφη ὁ ἱέρων καὶ τῶν σίτων· ὁ μὲν
ἔχων παντοδαπὰ ἀεὶ οὐδὲν μετὰ πόθου αὐ
τῶν λαμβάνει· ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ
μετὰ χαρᾶς πιμπλάμενος ὅταν αὐτῷ προ
φανῇ τι· κινδυνεύουσιν ἔφη ὁ σιμωνίδης, αἱ
τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις τοῦ
τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τού
τῳ ἔξεστιν ὑμῖν ὅτι ἂν κάλλιστον ἴδητε τού
τῳ συνεῖναι· νῦν δὴ ἔφη ὁ ἱέρων εἴρηκας. ἐν ᾧ
σάφ' ἴσθι μειονεκτοῦμεν τῶν ἰδιωτῶν· πρῶ
τον μὲν γὰρ γάμος. ὁ μὲν ἐκ μειζόνων δήπου
καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι
καὶ παρέχει τῷ γήμαντι φιλοτιμίαν μεθ' ἡδο
νῆς. δεύτερον δὲ ὁ ἐκ τῶν ὁμοίων· ὁ δὲ ἐκ τῶν φαυ
λοτέρων, πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομί
ζεται. τῷ τοίνυν τυράννῳ ἂν μὲν ξένην γήμῃ, ἀ
νάγκη ἐκ μειόνων γαμεῖν. ὥστε τὸ ἀγαπητὸν

οὐ πάνυ αὐτῷ παραγίγνονται· πολὺ δὲ καὶ αἱ θε
ραπεῖαι αἱ ἀπὸ τῶν μέγιςομ φρονουσῶν γυ
ναικῶμ εὐφραίνουσι μάλιςα. αἱ δ' ὑπὸ δού-
λωμ, παροῦσαι μὲν οὐδέν τι ἀγαπῶνται. ἐὰμ
δέ τι ἐλλείπωσι δεινὰς ὀργὰς καὶ λύπας ἐμ-
ποιοῦσιμ. ἐμ δὲ τοῖς παιδικοῖς ἀφροδισίοις ἔτι
αὖ πολὺ μᾶλλομ, ἢ ἐμ τοῖς τεκνοποιοῖς μειονε
κτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. ὅτι γὰρ τὰ μετ'
ἔρωτος ἀφροδίσια, πολὺ διαφερόντως εὐ
φραίνει, πάντες δήπου ἐπιστάμεθα. ὁ δὲ ἔρως
πολὺ αὖ ἐθέλει ἥκιςα τῷ τυράννῳ ἐγγίγνε
σθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμε-
νος. ἀλλὰ τῶν ἐλπιζομένωμ. ὥσπερ οὖν εἴ τις ἄ
πειρος ὢν δίψους, τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι. οὕτω
καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐςι τῶν ἡδίςωμ
ἀφροδισίωμ. ὁ μὲμ οὖμ ἱέρων οὕτως εἶπεν.
ὁ δὲ σιμωνίδης ἐπιγελάσας, πῶς λέγεις ἔ
φη ὦ ἱέρων. τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας
ἐμφύεσθαι; πῶς μὴν σὺ ἔφη ἐρᾷς δαϊλό
χου τοῦ καλλίςου ἐπικαλουμένου. ὅτι μὰ
τὸν δί' ἔφη ὦ σιμωνίδη. οὐ τοῦ ἑτοίμου παρ' αὐ
τοῦ δοκοῦντος εἶναι τυχεῖν, τούτου μάλιςα ἐπι

θυμῶ· ἀλλὰ τοῦ ἥκιστα τυράννω προσήκοντος,
κατεργάσασθαι· ἐγὼ γὰρ δὴ ἐρῶ μὲν δαϊλόχου
ὥσπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖ
σθαι παρὰ τῶμ καλῶμ. τούτωμ δὲ ὧν ἐρῶ τυ
χεῖν μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου
πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν· βίᾳ δὲ
λαμβάνειν παρ' αὐτοῦ, ἧττον ἄμ μοι δοκῶ ἐπι
θυμεῖν. ἢ ἐμαυτὸν κακόν τι ποιεῖν. παρὰ
μὲμ γὰρ πολεμίωμ ἀκόντωμ λαμβάνειν, πάν
των ἔγωγε ἥδιστον νομίζω εἶναι· παρὰ δὲ παι
δικῶν βουλομένωμ, ἥδισται οἶμαι αἱ χάριτές
εἰσιν· εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι
μὲν αἱ ἀντιβλέψεις· ἡδεῖαι δὲ αἱ ἐρωτήσεις· ἡ
δεῖαι δὲ αἱ ἀποκρίσεις· ἥδισται δὲ καὶ ἐπαφρο
διτώταται αἱ μάχαι τε καὶ ἔριδες· τὸ δὲ ἀκόν
των παιδικῶμ ἀπολαύειν, λεηλασίᾳ ἔφη ἔ
μοιγε δοκεῖ ἐοικέναι μᾶλλομ ἢ ἀφροδισίοις.
καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδο
νάς, τό τε κέρδος καὶ τὸ ἀνιᾶμ τὸν ἐχθρόν. τὸ δὲ
οὗ ἂν ἐρᾷ τις τούτῳ ἥδεσθαι ἀνιωμένῳ· καὶ
φιλοῦντα μισεῖσθαι· καὶ ἅπτεσθαι ἀχθομέ
νου· πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα

καὶ οἰκτρόν. καὶ γὰρ δὴ τῶν μὲμ ἰδιώτη εὐθύς τεκ-
μήριόν ἐστιν. ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ. ὅ-
τι ὡς φιλῶμ χαρίζεται διὰ τὸ εἰδέναι. ὅτι οὐδε-
μιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ. τῷ δὲ τυράν-
νῳ οὔποτ' ἔστι πιστεῦσαι ὡς φιλεῖται. ἐπιστά-
μεθα γὰρ αὐτοὺς. διὰ φόβον ὑπηρετοῦντας. ὡς
ὅτι μάλιστ' ἂμ δύνωνται ἐξεικάζουσιν αὐτοὺς ταῖς
τῶν φιλούντωμ ὑπουργίαις. καὶ τοίνυν αἱ ἐπιβου-
λαὶ ἐξ οὐδένωμ πλέονες τοῖς τυράννοις εἰσὶν.
ἢ ἀπὸ τῶν μάλιστα φιλεῖμ αὐτοὺς προσποιησα-
μένων. πρὸς ταῦτα δὲ εἶπεν ὁ σιμωνίδης.
ἀλλὰ ταῦτα μὲμ πάνυ ἔμοιγε μικρὰ δοκεῖ
εἶναι ἃ σὺ λέγεις. πολλοὺς γὰρ ἔφη ἔγωγε ὁρῶ
τῶν δοκούντων ἄνδρων εἶναι ἑκόντας μειονεκτοῦν-
τας. καὶ σίτωμ καὶ ποτῶν καὶ ὄψωμ καὶ ἀφροδι-
σίωμ γε ἀπεχομένους. ἀλλ' ἐμ ἐκείνοις γε
πολὺ διαφέρετε τῶν ἰδιωτῶν. ὅτι μεγάλα μὲμ
ἐπινοεῖτε. ταχὺ δὲ κατεργάζεσθε. πλεῖστα
δὲ τὰ περιττὰ ἔχετε. κέκτησθε δὲ διαφέ-
ροντας μὲν ἀρετῇ ἵππους. διαφέροντα δὲ κάλ-
λει ὅπλα. ὑπερέχοντα δὲ κόσμον γυναιξὶ.
μεγαλοπρεπεστάτας δ' οἰκίας. καὶ ταύτας

κατεσκευασμένας τῶν πλείστου ἀξίοις. ἔτι δὲ
πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέ-
κτῆσθαι. ἱκανώτατοι δὲ εἶναι κακῶσαι μὲν ἐχ-
θρούς· ὀνῆσαι δὲ φίλους· Πρὸς ταῦτα δὲ ὁ
ἱέρων εἶπεν· ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀν-
θρώπων ὦ σιμωνίδη ἐξαπατᾶσθαι ὑπὸ τῆς
τυραννίδος, οὐδὲν ἔτι θαυμάζω· μάλα γὰρ ὁ ὄ-
χλος μοι δοκεῖ δοξάζειν ὁρῶν, καὶ εὐδαίμονάς
τινας εἶναι καὶ ἀθλίους. ἡ δὲ τυραννὶς τὰ δο-
κοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγ-
μένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχεται. τὰ
δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτη-
ται ἀποκεκρυμμένα. ἔνθαπερ καὶ τὸ εὐδαιμο-
νεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκει-
ται. τὸ μὲν οὖν πλῆθος περὶ τούτου λεληθέναι
ὥσπερ εἶπον. οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦ-
τ᾽ ἀγνοεῖν. οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι
κάλλιον. ἢ διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν
πραγμάτων, τοῦτο εἶναι δοκεῖ μοι θαυμαστόν.
ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα ὦ σιμω-
νίδη. καὶ λέγω σοι, ὅτι οἱ τύραννοι, τῶν μεγίστων
ἀγαθῶν ἐλάχιστα μετέχουσι. τῶν δὲ μεγί-

στων κακῶν, πλεῖστα κέκτηνται. αὐτίκα γὰρ εἰ
μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις
εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν.
εἰ δὲ πόλεμος μέγα κακὸν, τούτου πλεῖστον
μέρος οἱ τύραννοι μετέχουσιν. εὐθὺς γὰρ τοῖς
μὲν ἰδιώταις ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πό-
λεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πο-
ρεύεσθαι μηδὲν φοβουμένους μή τις αὐτοὺς
ἀποκτείνῃ. οἱ δὲ τύραννοι πάντως, πανταχῆ
ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν
ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν καὶ
ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. ἔπει-
τα δὲ οἱ μὲν ἰδιῶται ἐὰν καὶ στρατεύωνται
πρὸς πολεμίαν, ἀλλ᾽ οὖν ἐπειδάν γε ἔλθωσιν
οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι. οἱ
δὲ τύραννοι ἐπειδὰν ἐς τὴν ἑαυτῶν πόλιν ἀφί-
κωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄν-
τες. ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν ἐς τὴν πό-
λιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους ὄντες οἱ ἥτ-
τονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι. ἀλλ᾽ ἐπειδάν
γε ἔσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλεί-
ᾳ πάντες νομίζουσι καθεστάναι. ὁ δὲ, τύραννος.

ὅταν δὲ ἐπιβουλὰν ἔσω τῆς οἰκίας παρέλθῃ, ἐμ μεγίστῳ
κιμδύνῳ ἐστίν. ἀλλ' ἐν ταύτῃ δὴ καὶ μάλιστα φυ
λακτέον οἴεται εἶναι. ἔπειτα τοῖς μὲμ ἰδιώταις καὶ
διὰ σπονδῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου
ἀνάπαυσις· τοῖς δὲ τυράννοις οὔτε εἰρήνη πώποτε
πρὸς τοὺς τυραννουμένους γίγνεται· οὔτε σπομ
δαῖς ἄμ ποτε πιστεύσας ὁ τύραννος θαρσήσειε.
καὶ πόλεμοι μὲμ δή εἰσιν οὕς τε αἱ πόλεις πο
λεμοῦσι· καὶ οὓς οἱ τύραννοι πρὸς τοὺς βεβιασ
μένους. τούτων δὴ τῶν πολέμων, ὅσα μὲμ ἔ
χει χαλεπὰ ὁ σὺν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύ
ραννος ἔχει. καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέ
ρους καὶ φυλάττεσθαι καὶ κινδυνεύειν. καὶ ἄν τι πά
θωσι κακὸν ἡττηθέντες, λυποῦνται ἐπὶ τούτοις
ἑκάτεροι. μέχρι μὲμ δὴ τούτου ἴσοι οἱ πολέ
μιοι· ἃ δὲ ἔχουσιμ ἡδέα οἱ συνόντες πόλεσι
πρὸς τὰς πόλεις, ταῦτα οὐκέτι ἔχουσιν οἱ τύ
ραννοι· αἱ μὲν γὰρ πόλεις δήπου, ὅταμ κρατή
σωσι μάχῃ τῶν ἐναντίωμ, οὐ ῥᾴδιον εἰπεῖν ὅσην
μὲμ ἡδονὴν ἔχουσιμ ἐν τῷ τρέψασθαι τοὺς
πολεμίους, ὅσην δὲ ἐν τῷ διώκειν, ὅσην δὲ ἐν τῷ
ἀποκτείνειν τοὺς πολεμίους· ὡς δὲ γαυροῦν

ται ἐπὶ τῷ ἔργῳ· ὡς δὲ δόξαν λαμπρὰν ἀ-
ναλαμβάνουσιν· ὡς δ' εὐφραίνονται, τὴν πόλιν
νομίζοντες ηὐξηκέναι· ἕκαστος δέ τις προσποι-
εῖται καὶ τῆς βουλῆς μετεσχηκέναι καὶ πλείστους
ἀπεκτονέναι· χαλεπὸν δὲ εὑρεῖν ὅπου οὐχὶ,
καὶ ἐπιψεύδονται πλέονας φάσκοντες ἀπε-
κτονέναι ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν· οὕτω
καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾶν· ὁ δὲ
τύραννος ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμε-
νος τῷ ὄντι ἀντιπραττομένους τινὰς, ἀποκτεί-
νῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν· ἐπίσταταί
τε ὅτι μειόνων ἄρξει· φαιδρός τε οὐ δύναται εἶ-
ναι· οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ, ἀλλὰ καὶ
μειοῖ καθ' ὅσον ἂν δύνηται τὸ γεγενημένον· καὶ
ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πε-
ποίηκεν· οὕτως οὐδ' αὐτῷ δοκεῖ καλὰ τὰ ποιού-
μενα εἶναι· καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβή-
θη, οὐδέν τι μᾶλλον τοῦτο θαρρεῖ· ἀλλὰ φυλάτ-
τεται ἔτι μᾶλλον ἢ τὸ πρόσθεν· καὶ πόλεμον
δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ
δηλῶ· Φιλίας δ' αὖ καταθέασαι ὡς κοινωνοῦσιν
οἱ τύραννοι· Πρῶτον μὲν εἰ μέγα ἀγαθὸν ἀν

θρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα. ὅς γὰρ
ἂμ φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦ
τον οἱ φιλοῦντες παρόντα ὁρῶσι. ἡδέως δ' εὖ ποι
οῦσιμ. ποθοῦσι δὲ ἄν που ἀπίῃ. ἥδιστα δὲ πά
λιν προσιόντα δέχονται. συνήδονται δὲ ἐπὶ
τοῖς ἑαυτοῦ ἀγαθοῖς. συνεπικουροῦσι δὲ ἐάμ τι
σφαλλόμενον ὁρῶσιν. οὐ μὲμ δὴ λέληθεμ οὐδὲ
τὰς πόλεις. ὅτι ἡ φιλία μέγιστομ ἀγαθὸν ὂν. ἥδι
στομ ἀνθρώποις ἐστίμ. μόνους γοῦμ τοὺς μοι
χοὺς νομίζουσι πολλαὶ τῶν πόλεωμ, νηποινὶ ἀ
ποκτείνειμ. δηλονότι διὰ ταῦτα. ὅτι λυμαντῆ
ρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλί-
ας πρὸς τοὺς ἄνδρας εἶναι. ἐπεὶ ὅταμ γε ἀ-
φροδισιασθῇ κατὰ συμφοράν τινα γυνή, οὐδὲν
ἧττον. τούτου ἕνεκα τιμῶσιμ αὐτὰς οἱ ἄνδρες ἐ
άνπερ ἡ φιλία δοκῇ αὐταῖς ἀκήρατος διαμέ
νειν. τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖ
σθαι εἶναι. ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀ
γαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θε
ῶν καὶ παρὰ ἀνθρώπωμ. καὶ τούτου τοίνυν τοῦ
κτήματος τοιούτου ὄντος, μειονεκτοῦσιμ οἱ τύραν
νοι πάντων μάλιστα. εἰ δὲ βούλει ὦ Σιμωνίδη

ἐπίσταμαι ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι. βεβαι
όταται μὲν γὰρ δήπου δοκοῦσι φιλίαι εἶναι γο
νεῦσι πρὸς παῖδας. καὶ παισὶ πρὸς γονέας. καὶ ἀ
δελφοῖς πρὸς ἀδελφοὺς καὶ γυναιξὶ πρὸς ἄν
δρας καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλεις
κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τού
των μάλιστα φιλουμένους. τοὺς δὲ τυράννους, πο
λλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας. πολ
λοὺς δ' ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας. πολ
λοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους
γεγενημένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν
ἑαυτῶν τυράννους διεφθαρμένους. καὶ ὑπὸ ἑται
ρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες
οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖν
καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται.
πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴν αὐτοὺς φιλεῖ
σθαι. Ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον
μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ.
ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς
πρὸς ἀλλήλους. ποία δ' ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄ
νευ πίστεως ὁμιλία. ποῖος δὲ θεράπων ἡδὺς
ἀπιστούμενος. καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τι

νας ἔχειν ἐλάχιστον μέτεστι τυράννῳ ὁπότε γε
οὔτε σιτίοις ἀκρατίστοις πιστεύων διάγει. ἀλλὰ
καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς δια
κόνους πρῶτον κελεύουσιν ἀπογεύσασθαι,
διὰ τὸ ἀπιστεῖν. μὴ καὶ ἐν τούτοις κακόν τι φάγω
σιν ἢ πίωσιν· ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς
μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι· πολῖ,
ται δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ
ἐπὶ τοὺς δούλους· δορυφοροῦσι δὲ ἐπὶ τοὺς κα
κούργους. ὑπὲρ τοῦ μηδένα τῶμ πολιτῶν βι
αίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω δὲ πόρρω
προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται
πολλοὶ νόμον τῷ μιαιφόνῳ μὴ δὲ τὸν συ,
νόντα καθαρεύειν. ὥστε διὰ τὰς πατρίδας ἀσ
φαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶμ· τοῖς δὲ
τυράννοις, καὶ τοῦτο ἔμπαλιμ ἀνέστραπται·
ἀντὶ γὰρ τοῦ τιμωρεῖμ αἱ πόλεις αὐτοῖς, μεγά
λως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννομ· καὶ
ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶμ ὥσπερ τοὺς
τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας
ἐμ τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοῦτο ποιη
σάντων. εἰ δὲ σὺ οἴει· ὡς πλείω ἔχων τῶν ἰδιω

τῶν κτημάτων ὁ τύραννος· διὰ τοῦτο καὶ πλεί-
ω ἀπ' αὐτῶν εὐφραίνεται· οὐ δὲ τοῦτο οὕτως ἔχει
ὦ σιμωμίδη· ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅ-
ταμ ἰδιωτῶμ γένωμται κρείττονες τοῦτ' αὐ-
τοὺς εὐφραίνει· ἀλλ' ὅταμ τῶν ἀνταγωνιστῶν
ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ· οὕτω καὶ ὁ τύραννος· οὐ-
χ' ὅταμ τῶν ἰδιωτῶμ πλείω φαίνηται ἔχων,
τότ' εὐφραίνεται. ἀλλ' ὅταν ἑτέρωμ τυράννων ἐ-
λάττω ἔχῃ τούτῳ λυπεῖται. τούτους γὰρ ἀντα-
γωνιστὰς ἡγεῖται αὑτῷ τοῦ πλούτου εἶναι· οὐδέ γε
θᾶττόν τι γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπι-
θυμεῖ· ὁ μὲν γὰρ ἰδιώτης οἰκίας ἢ ἀγροῦ ἢ οἰκέ-
του ἐπιθυμεῖ. ὁ δὲ τύραννος, ἢ πόλεων ἢ χώ-
ρας πολλῆς· ἢ λιμένων· ἢ ἀκροπόλεων ἰσχυ-
ρῶμ· ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυ-
νώτερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυ-
μημάτων· ἀλλὰ μέντοι καὶ πλουσίους ὄψει οὐχ οὔ-
τως ὀλίγους τῶν ἰδιωτῶν ὡς πένητας πολλοὺς τῶν τυ-
ράννων· οὐ γὰρ τῷ ἀριθμῷ. οὔτε τὰ πολλὰ κρίνε-
ται οὔτε τὰ ἱκανά· ἀλλὰ πρὸς τὰς χρήσεις·
ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολ-
λά ἐστι. τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα.

τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧττον ἱκα-
νά ἐστιν ἐς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ
ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπά-
νας συντέμνειν ἐς τὰ καθ' ἡμέραν ὅπῃ βούλον-
ται. τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέ-
γισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται ἐς τὰς
τῆς ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων συν-
τέμνειν, ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι
μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέ-
ονται· τί τούτους οἰκτείρει τις ὡς πένητας. ὅσοι
δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν
μηχανώμενοι ζῆν· πῶς οὐ τούτους ἀθλίους
ἄν τις καὶ πένητας δικαίως καλοῖ; οἱ τύραν-
νοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδί-
κως καὶ ἱερὰ καὶ ἀνθρώπους· διὰ τὸ ἐς τὰς
ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρη-
μάτων. Ὥσπερ γὰρ πολέμου ὄντος, ἀεὶ ἀνα-
γκάζονται στράτευμα τρέφειν· ἢ ἀπολωλέναι.
Χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα ὦ Σιμω-
νίδη τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐ-
δὲν ἧττον τῶν ἰδιωτῶν, τοὺς κοσμίους τε καὶ σο-
φοὺς καὶ δικαίους, τούτους δ' ἀντὶ τοῦ ἄγα-

σθαι φοβοῦνται· τοὺς μὲμ ἀμδρέους μή τι τολ-
μήσωσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σο-
φοὺς, μή τι μηχανήσωνται. τοὺς δὲ δικαίους
μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προ-
στατεῖσθαι· ὅταμ δὲ τοὺς τοιούτους διὰ τὸμ
φόβον ὑπεξαιρῶνται. τίνες ἄλλοι αὐτοῖς κατα-
λείπονται χρῆσθαι. ἀλλ' ἢ ἄδικοί τε καὶ ἀκρατεῖς
καὶ ἀνδραποδώδεις· οἱ μὲν ἄδικοι πιστευόμε-
νοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς
πόλεις μήποτε ἐλεύθεραι γενόμεναι, ἐγκρα-
τεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ
παρὸν ἐξουσίας ἕνεκα· οἱ δ' ἀνδραποδώδεις,
διότι οὐδ' αὐτοὶ ἀξιοῦσιμ ἐλεύθεροι εἶναι. χαλε-
πὸμ οὖμ καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ
εἶναι. τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄμδρας
ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. ἔτι δὲ φιλό-
πολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ
τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο οὔτ' εὐ-
δαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυ-
τῶν πατρίσιν ἐγκαλεῖν. οὔτε γὰρ ἀλκίμους οὔ-
τ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρα-
σκευάζοντες· ἀλλὰ τοὺς ξένους δεινοτέρους τῶν

πολιτῶν ποιοῦντος ἥδονται μᾶλλον ἢ τού
τοις χρῶνται δορυφόροις. ἀλλὰ μὴν οὐδ᾽ ἂν εὐε
τηριῶν γινομένων ἀφθονία τῶν ἀγαθῶν γίγνη
ται, οὐδὲ τότε συγχωρεῖ ὁ τύραννος. ἐνδεεστέ
ροις γὰρ οὖσι, ταπεινοτέροις αὐτοῖς οἴονται χρῆ
σθαι. βούλομαι δέ σοι ἔφη ὦ σιμωνίδη, κἀ
κείνας τὰς εὐφροσύνας δηλῶσαι. ὅσαις ἐγὼ
χρώμενος ὅτε ἦν ἰδιώτης νῦν ἐπειδὴ τύραννος
ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ
γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος, ἡδομέ
νοις ἐμοί. συνῆν δὲ ἐμαυτῷ. ὁπότε ἡσυχίας
ἐπιθυμήσαιμι. διῆγον δ᾽ ἐν συμποσίοις. πολ
λάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ
τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν. πολλά
κις δὲ μέχρι τοῦ ᾠδαῖς καὶ θαλίαις καὶ χο
ροῖς τὴν ψυχὴν συγκαταμιγνύναι. πολλάκις
δὲ μέχρι κοινῆς ἐπιθυμίας, ἐμῆς τε καὶ
τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡ
δομένων ἐμοί, διὰ τὸ δούλους ἀντὶ φί
λων ἔχειν τοὺς ἑταίρους. ἀπεστέρημαι δ᾽ αὐ
τὸς τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν. διὰ τὸ μη
δεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ᾽ αὐτῶν, μέ

δὴν δὲ καὶ ὕπνον ὁμοίως ἐμὲ δρᾷ φυλάττομαι.
τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον. φοβεῖσθαι δ᾽ ἐρημί
αν. φοβεῖσθαι δὲ ἀφυλαξίαν. φοβεῖσθαι δὲ καὶ
αὐτοὺς τοὺς φυλάττοντας. καὶ μήτ᾽ ἀνόπλους
ἔχειν ἐθέλειν περὶ αὐτὸν. μήθ᾽ ὡπλισμένους
ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγ
μα. ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύ
ειν. βαρβάροις τε μᾶλλον ἢ ἕλλησιν. ἐπιθυ
μεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν.
τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευ
θέρους. οὐ πάντα σοι ταῦτα δοκεῖ, ψυχῆς
ὑπὸ φόβων τε καταπεπληγμένης τεκμήρι
α εἶναι; ὅ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν
ταῖς ψυχαῖς λυπηρός ἐστιν. ἀλλὰ καὶ πάντων
τῶν ἡδέων, συμπαρακολουθῶν λυμεὼν γίγνε
ται. εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ ὦ σι
μωνίδη. καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλη
σίον ἀντετάξω, ἀναμνήσθητι ποῖον μέν τι
να σῖτον ᾑροῦ ἐν ἐκείνῳ τῷ χρόνῳ. ποῖον δὲ
τινα ὕπνον ἐκοιμῶ. οἷα μέντοι σοὶ τότ᾽ ἦν
τὰ λυπηρά. τοιαῦτ᾽ ἐστὶ τὰ τῶν τυράννων. καὶ
ἔτι δεινότερα. οὐ γὰρ ἐξ ἐναντίας μόνον, ἀλλ᾽

καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι. Ταῦτα δ' ἀκούσας σιμωνίδης ὑπολαβὼν εἶπεν· ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν μέν· ἀλλ' ὅμως ὦ ἱέρων ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατιᾷ φύλακας προκαθισάμενοι. θαῤῥαλέως δείπνου τε καὶ ὕπνου τυγχάνομεν. καὶ ὁ ἱέρων ἔφη· ναὶ μὰ Δία ὦ σιμωνίδη. αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι· ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύρανμοι. μισθοῦ φύλακας ἔχουσιν. ὥσπερ θεριστάς· καὶ δεῖ μὲν δήπου τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι. ὡς πιστοὺς εἶναι. πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου· ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάττοντες ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πλείω λαβεῖν. ἀποκτείνασι τὸν τύραννον· ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. ὃ δ' ἐζήλωσας ἡμᾶς· ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα· τοὺς δὲ ἐχθροὺς

πάντων μάλιστα χαίρουμεν, οὐ δὲ ταὐτοῦ
τως ἔχει. φίλους μὲν γὰρ πῶς ἂν νομίσαις πο
τὲ εὖ ποιεῖν ὅταν εὖ εἰδῇς ὅτι ὁ τὰ πλεῖστα λα
μβάνων παρὰ σοῦ ἥδιστ᾽ ἂν ὡς τάχιστα ἐξ ὀ
φθαλμῶν σου γένοιτο. ὅτι γὰρ ἄν τις λάβῃ πα
ρὰ τυράννου οὐδεὶς οὐδὲμ ἑαυτοῦ νομίζει. πρὶν
ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται. ἐχ
θροὺς δ᾽ αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράν
νοις ἐξεῖναι χειροῦσθαι. ὅταμ εὖ εἰδῶσιν ὅτι ἐχ
θροὶ αὐτῶν εἰσὶ πάντες οἱ τυραννούμενοι. τού
τους δὲ μήτε κατακαίνειν ἅπαντας μήτε
δεσμεύειν οἷόν τε ᾖ. τίνων γὰρ ἔτι ἄρξει. ἀλλ᾽ εἰ
δότα ὅτι ἐχθροί εἰσι. τούτους ἅμα μὲν φυ
λάττεσθαι δέῃ καὶ χρῆσθαι δ᾽ αὐτοῖς ἀναγκάζε
σθαι. εὖ δ᾽ ἴσθι καὶ τοῦτο ὦ Σιμωνίδη. ὅτι καὶ
οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐ
τοὺς ζῶντας ὁρῶσι. χαλεπῶς δ᾽ ἀποκτείνου
σιν. ὥσπερ γὰρ καὶ ὁ ἵππος εἰ ἀγαθὸς μὲν εἴη
φοβερὸς δὲ μή, ἀνήκεστόν τι ποιήσῃ. χαλε
πῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι διὰ τὴν ἀ
ρετήν. χαλεπῶς δὲ ζῶντι χρῷτο εὐλαβούμε
νος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάση

ται. καὶ τἆλλα τὰ κτήματα ὅσα χαλεπὰ μὲν, χρήσιμα δ' ἐστὶν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους· λυπεῖ δὲ ἀπαλασσομένους· ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ σιμωνίδης, εἶπεν. Ἐοικεν ἔφη ὦ ἱέρων, μέγα τί εἶναι ἡ τιμὴ ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται. πάντα δὲ κίνδυνον ὑπομένουσι· καὶ ὑμεῖς ὡς ἔοικε τοσαῦτα πράγματα ἐχούσης ὁπόσα λέγεις τῆς τυραννίδος ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν. ὅπως τιμᾶσθε. καὶ ὑπηρετῶσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως. περιβλέπωσι δὲ πάντες. ὑπανιστῶνται δ' ἀπὸ τῶν θάκων. ὁδῶν τε παραχωρῶσιν. γεραίρωσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς. τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι· καὶ ἄλλον ὅντινα ἀεὶ τιμῶντες τυγχάνουσι. καὶ γάρ μοι δοκεῖ ὦ ἱέρων· τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζώων. τῷ τιμῆς ὀρέγεσθαι. ἐπεὶ σιτίοις τε καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδισίοις, πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία οὔτ' ἐν τοῖς ἀλόγοις

ζώοις ἐμφύεται, οὔτ᾽ ἐν ἅπασιν ἀνθρώποις.
οἷς δ᾽ ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως. οὗ
τοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων
διαφέροντες. ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρωποι
μόνον νομιζόμενοι. ὥστε ἐμοὶ μὲν εἰκότως
δοκεῖτε ταῦτα πάντα ὑπομένειν ἃ φέρετε
πάντα ἐν τῇ τυραννίδι. ἐπείπερ τιμᾶσθε
διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ οὐ
δὲ μία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω
δοκεῖ εἶναι. ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη.
Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων. Ἀλλ᾽ ὦ Σι-
μωνίδη. καὶ αἱ τιμαὶ τῶν τυράννων, ὅμοιαι ἐ
μοὶ δοκοῦσιν εἶναι. οἷάπερ ἐγώ σοι τὰ ἀφρο
δίσια ὄντα αὐτῶν ἀπέδειξα. οὔτε γὰρ αἱ μὴ
ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδό
κουν εἶναι. οὔτε τὰ ἀφροδίσια τὰ βίαια ἡδέ
α ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουρ
γίαι παρὰ τῶν φοβουμένων, τιμαί εἰσι. πῶς
γὰρ ἂν φαίημεν. ἢ τοὺς βίᾳ ἐξανισταμένους θά
κων, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας ἐξανί
στασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς
κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας πα-

ραχωρῶσιν. καὶ δῶρα γὰρ διδόασιν οἱ πολλοὶ
τούτοις οὓς μισοῦσι. καὶ ταῦτα ὅταμ μάλι-
στα φοβῶνται μή τι κακὸμ ὑπ' αὐτῶν πάθωσιν.
Ἀλλὰ ταῦτα μὲν οἶμαι δουλείας ἔργα
εἰκότως ἂν νομίζοιτο. αἱ δὲ τιμαὶ ἔμοιγε δο-
κοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι. ὅταν
γὰρ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν
ἱκανὸν εἶναι καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομί-
σαντες, ἔπειτα τοῦτομ ἀνὰ στόμα τε ἔχωσιν
ἐπαινοῦντες. θεῶνται δ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος
ἀγαθόν. ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν.
καὶ θάκων ὑπανιστῶνται. φιλοῦντές τε καὶ μὴ
φοβούμενοι. καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐ-
εργεσίας ἕνεκα. καὶ δωρεῖσθαι ἐθέλωσιν. οἱ
αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι τιμᾶν τε τοῦτον
ἀληθῶς οἳ ἂν τοιαῦτα ὑπουργήσωσι. καὶ ὁ τού-
των ἀξιούμενος, τιμᾶσθαι τῷ ὄντι. καὶ ἔγωγε
τὸν μὲν οὕτω τιμώμενον μακαρίζω. αἰσθά-
νομαι γὰρ αὐτὸμ οὐκ ἐπιβουλευόμενον. ἀλλὰ
φροντιζόμενον μή τι πάθῃ. καὶ ἀφόβως καὶ ἀνε-
πιφθόνως καὶ ἀκινδύνως καὶ εὐδαιμόνως τὸμ

βίον διάγοντα. ὁ δὲ τύραννος ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως ὦ σιμωνίδη εὖ ἴσθι καὶ νύκτα καὶ ἡμέραν διάγει. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ σιμωνίδης, καὶ πῶς ἔφη ὦ ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ. οὔτε σύ. οὔτε ἄλλος οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο ὅσπερ ἂν ἅπαξ κτήσαιτο. Ὅτι ἔφη ὦ σιμωνίδη καὶ ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυρραννίς. οὐ δὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος. ἢ χρήματα ἐκτίνων ὅσους ἀφείλετο. ἢ δεσμοὺς ἀντιπαράσχοι ὅσους δὴ ἐδέσμευσεν. ἢ ὅσους κατέκτανε. πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας. Ἀλλ' εἴπερ τῳ ἄλλῳ ὦ σιμωνίδη λυσιτελεῖ ἀπάγξασθαι ἴσθι ἔφη ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ. Καὶ ὁ σιμωνίδης ὑπολαβὼν εἶπεν. Ἀλλὰ τὸ μὲν νῦν ὦ ἱέρων, ἀθύμως ἔχειν σε

πρὸς τὴν τυραμνίδα, οὐ θαυμάζω. ἐπεί περ
ἐπιθυμῶν φιλεῖσθαι ὑπ' ἀνθρώπων. ἐμποδώμ σοι
τοῦτο νομίζεις αὐτὴμ εἶναι. ἐγὼ μέμ
τοι ἔχειμ μοι δοκῶ διδάξαι σε ὡς τὸ ἄρχειν οὐ-
δὲν ἀποκωλύει τοῦ φιλεῖσθαι· ἀλλὰ καὶ πλε-
ονεκτεῖμ γε τῆς ἰδιωτείας· ἐπισκοποῦντες δ' αὐτὸ
εἰ οὕτως ἔχει, μή πω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ
τὸ μεῖζομ δύνασθαι ὁ ἄρχων καὶ χαρίζεσθαι
πλείω δύναιτ' ἄμ· ἀλλ' ἂμ τὰ ὅμοια ποιῶσιμ
ὅτε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει πότερος
μείζω ἀπὸ τῶν ἴσων κτᾶται χάριμ· ἄρξομαι
δέ σοι ἀπὸ τῶν μικροτάτωμ παραδειγμάτων.
Ἰδὼμ γὰρ πρῶτον προσειπάτω τινὰ φιλικῶς
ὅτε ἄρχων καὶ ὁ ἰδιώτης. ἐν τούτῳ, τὴν ποτέρου
πρόσρησιν μᾶλλομ εὐφραίνειμ τὸμ ἀκούσαν-
τα νομίζεις· ἴθι δὴ ἐπαινεσάντωμ ἀμφοτέ-
ρων τὸν αὐτόν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξι-
κνεῖσθαι μᾶλλομ εἰς εὐφροσύνην. θύσας δὲ τι-
μησάτω ἑκάτερος, τὴν παρ' ὁποτέρου τιμὴν
μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειμ. κάμνον-
τα θεραπευσάτωσαν ὁμοίως. οὐκοῦν τοῦτο
σαφὲς ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θερα-

τεῖται, καὶ χαριζόμενοι ποιοῦσι μεγίστην. δότω-
σαν δὴ ταυτὶ ἴσα. οὐ καὶ ἐν τούτῳ σαφὲς ὅτι αἱ ἀ-
πὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες, πλέον
ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύναν-
ται, ἀλλ᾽ ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ
χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ
γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐ-
τὸν τοῦτον θεώμεθα ὅταν ἄρχῃ, ἢ ὅταν ἰδι-
ωτεύῃ. διαλεγόμενοί τε ἀγαλλόμεθα τοῖς
προτετιμημένοις μᾶλλον ἢ τοῖς ἐκ τοῦ ἴ-
σου ἡμῖν οὖσι. καὶ μὴν παιδικά γε ἐν οἷς
δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννί-
δα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει. ἥ-
κιστα δ᾽ αἶσχος πρὸς ὃν ἂν τυγχάνῃ ὁ φιλῶν
τοῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετιμῆσθαι
μάλιστα συνεπικοσμεῖ. ὥστε τὰ μὲν δυσχε-
ρῆ ἀφανίζειν. τὰ δὲ καλὰ λαμπρότερα ἀνα-
φαίνειν. ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουρ-
γημάτων μειζόνων χαρίτων ὑμεῖς τυγχάνε-
τε. πῶς οὐκ ἐπειδάν γε ὑμεῖς πολλαπλάσι-
α μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολ-
λαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ

πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσή-
κει. Καὶ ὁ ἱέρων εὐθὺς ὑπολαβὼν, ὅτι νὴ Δί'
α ἔφη. ὦ σιμωνίδη. καὶ ἐξ ὧν ἀπεχθάνον-
ται οἱ ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδι-
ωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι. πρακτέον
μὲν γε χρήματα εἰ μέλλοιμεν ἕξειν δαπα-
νᾶν εἰς τὰ δέοντα. ἀναγκαστέον δὲ φυλάττειν
ὅσα δεῖται φυλακῆς. κολαστέον δὲ τοὺς ἀδί-
κους. κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους
καὶ ὅταν γε τάχους καιρὸς παραστῇ. ἢ πεζῇ
ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι. οὐκ ἐπιτρεπτέ-
ον τοῖς ῥαδιουργοῦσιν. ἔτι δὲ μισθοφόρων μὲν
ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρη-
μα οὐδέν ἐστι τοῖς πολίταις. οὐ γὰρ τυράννοις ἰσο-
τίμους ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι
τούτους τρέφεσθαι. Πρὸς ταῦτα δὴ πάλιν
ὁ σιμωνίδης εἶπεν. Ἀλλ' ὅπως μὲν οὐ πάν-
των τούτων ἐπιμελιτέον ὦ ἱέρων, οὐ λέγω. ἐπι-
μέλειαι μέντοι μοι δοκοῦσιν. αἱ μὲν πάνυ
πρὸς ἔχθραν ἄγειν. αἱ δὲ πάνυ διὰ χαρίτων εἶ-
ναι. τὸ μὲν γὰρ διδάσκειν ἃ ἐστι βέλτιστα. καὶ

τοῦ κάλλιστα ταῦτα ἐξεργαζόμενομ ἐπαινεῖμ
καὶ τιμᾶν. αὕτη μὲμ ἡ ἐπιμέλεια, διὰ χαρί
των γίγνεται, τὸ δὲ τῷ ἐνδεῶς τί ποιοῦντα. λοι
δορεῖν τε καὶ ἀναγκάζειν καὶ ζημιοῦν καὶ κο-
λάζειν. ταῦτα δὲ ἀνάγκη δι' ἀπεχθείας
μᾶλλομ γίγνεσθαι. ἐγὼ οὖμ φημι. ἀνδρὶ ἄρ-
χοντι, τὸ μὲμ ἀναγκης δεόμενομ, ἄλλοις
προστακτέομ εἶναι κολάζειν. τὸ δὲ τὰ ἆθλα ἀπο
διδόναι, δι' αὐτοῦ ποιητέον· ὡς δὲ ταῦτα κα
λῶς ἔχει, μαρτυρεῖ τὰ γινόμενα. καὶ γὰρ ὅταν
χοροὺς ἡμῖμ βουλόμεθα ἀγωνίζεσθαι, ἆθλα
ὁ ἄρχων προστίθησιμ· ἀθροίζειν δὲ αὐτοὺς προσ
τέτακται χορηγοῖς· καὶ ἄλλοις διδάσκειμ· καὶ ἀ
νάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιμ·
οὐκοῦν εὐθὺς ἐν τούτοις, τὸ μὲμ ἐπίχαρι διὰ
τοῦ ἄρχοντος ἐγένετο· τὰ δ' ἀντίτυπα δι' ἄλ-
λωμ· τί οὖν κωλύει. καὶ τἆλλα τὰ κωλυτικὰ
οὕτως περαίνεσθαι. διῄρηνται μὲμ γὰρ ἅπα
σαι αἱ πόλεις· αἱ μὲμ κατὰ φυλακάς· αἱ δὲ κα
τὰ μοίρας· αἱ δὲ κατὰ λόχους· καὶ ἄρχομ τοῦ ἐφὲ
κάστῳ μέρει ἐφεστήκασιν. οὐκοῦν εἴ τις καὶ τούτοις
ὥσπερ τοῖς χοροῖς ἆθλα προστιθείη καὶ εὐοπλίας

καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πο
λέμῳ, καὶ δικαιοσύνης τῆς ἐν τοῖς συμβολαί
οις· εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὐ
τόνως ἀσκεῖσθαι. καὶ ναὶ μὰ Δία ὁρμῶν τοί
γε θᾶττον ὅποι δέοι τιμῆς ὀρεγόμενοι, καὶ χρή
ματα θᾶττον εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴ
η. καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ
ἐθισμένον διὰ φιλονεικίας πράττεσθαι, ἡ γε
ωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προς
τιθείη κατ᾽ ἀγροὺς ἢ κατὰ κώμας τοῖς καλλι
στα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦ
το τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις· πολ
λὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ αἱ πρόσοδοι
αὔξοιντ᾽ ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν
τῇ ἀσχολίᾳ συμπαρομαρτεῖ. καὶ μὴν κακουρ
γίαι γε ἧττον τοῖς ἐνεργοῖς ἐμφύονται. εἰ δὲ καὶ
ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ
πλεῖστα τοῦτο ποιῶν, καὶ ἐμπόρους ἂν πλεί
ους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο ὅτι καὶ ὁ πρόσο
δόν τινα ἄλυπον εὑρίσκων τῇ πόλει τιμήσεται
οὐδ᾽ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. ὡς δὲ συνελόν
τι εἰπεῖν, καὶ κατὰ πάντα ἐμφανὲς εἴη· ὅτι

ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται·
πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποι-
εῖσθαι τὸ σκοπεῖν τι ἀγαθόν. καὶ ὅταν γε πολ-
λοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρί-
σκεσθαί τε μᾶλλον καὶ ἐπιμελεῖσθαι. εἰ δὲ
φοβῇ ὦ ἱέρων μὴ ἐν πολλοῖς ἄθλων προτιθε-
μένων πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅ-
τι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα ἢ ὅ-
σα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππι-
κοῖς καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν, ὡς
μικρὰ ἆθλα, μεγάλας δαπάνας καὶ πολλοὺς
πόνους καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀν-
θρώπων. Καὶ ὁ ἱέρων εἶπεν. Ἀλλὰ ταῦ-
τα μὲν ὦ σιμωνίδη καλῶς μοι δοκεῖς λέ-
γειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν
ὡς μὴ μισεῖσθαι δι᾽ αὐτούς. ἢ λέγεις ὡς φιλί-
αν κτησάμενος ἄρχων. οὐδὲν ἔτι δεήσεται
δορυφόρων. Ναὶ μὰ Δία εἶπεν ὁ σιμωνίδης
δεήσεται μὲν οὖν. οἶδα γὰρ ὅτι ὥσπερ ἐν ἵπ-
ποις, οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται. ὅ-
σῳ ἂν ἔκπλεα τὰ δέοντα ἔχωσι. τοσούτῳ ὑ-
βριστοτέρους εἶναι. τοὺς μὲν οὖν τοιούτους, μᾶλ

λον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος.
τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ᾽ οὐδενὸς ἄν μοι
δοκῇς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅ-
σα ἀπὸ τῶν μισθοφόρων. τρέφεις μὲν γὰρ δή
που καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας. ἤδη δὲ
πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέ-
θανον. εἰ οὖν ἓν πρῶτον τοῦτ᾽ εἴη. τῶν προσ
τεταγμένων τοῖς μισθοφόροις. ὡς πάν-
των ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶ
σιν ἄν τι τοιοῦτον αἰσθάνωνται. γίγνονται δέ που
ὡς πάντες ἐπιστάμεθα, κακοῦργοι ἐν πόλεσιν.
εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι.
τοῦτ᾽ ἂν εἰδεῖεν ὑπ᾽ αὐτῶν ὠφελούμενοι. πρὸς
δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτή
νεσιν, οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφά
λειαν δύναιντο μάλιστα παρέχειν. ὁμοίως
μὲν τοῖς σοῖς ἰδίοις. ὁμοίως δὲ τοῖς ἀνὰ
τὴν χώραν. ἱκανοί γε μὴν εἰσι καὶ σχολὴν παρέ-
χειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι.
τὰ ἐπίκαιρα φυλάττοντες. πρὸς δὲ τούτοις καὶ
πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας
τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι ἢ κωλῦσαι

BIBLIOTHECA NACIONAL DE LISBOA
Inc 1305

Fultrom fla.. mo Jim

Cax. 82.

S. F. de subiedo

Quando la hermosa Proserpina
saliendo ~~[illegible]~~ la escura noche se recogio
i el noturno mochuelo cantando
estava el triste pastor Silvano
quexandose de su mal en vano.